This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

A propos de ce livre

Ceci est une copie numérique d'un ouvrage conservé depuis des générations dans les rayonnages d'une bibliothèque avant d'être numérisé avec précaution par Google dans le cadre d'un projet visant à permettre aux internautes de découvrir l'ensemble du patrimoine littéraire mondial en ligne.

Ce livre étant relativement ancien, il n'est plus protégé par la loi sur les droits d'auteur et appartient à présent au domaine public. L'expression "appartenir au domaine public" signifie que le livre en question n'a jamais été soumis aux droits d'auteur ou que ses droits légaux sont arrivés à expiration. Les conditions requises pour qu'un livre tombe dans le domaine public peuvent varier d'un pays à l'autre. Les livres libres de droit sont autant de liens avec le passé. Ils sont les témoins de la richesse de notre histoire, de notre patrimoine culturel et de la connaissance humaine et sont trop souvent difficilement accessibles au public.

Les notes de bas de page et autres annotations en marge du texte présentes dans le volume original sont reprises dans ce fichier, comme un souvenir du long chemin parcouru par l'ouvrage depuis la maison d'édition en passant par la bibliothèque pour finalement se retrouver entre vos mains.

Consignes d'utilisation

Google est fier de travailler en partenariat avec des bibliothèques à la numérisation des ouvrages appartenant au domaine public et de les rendre ainsi accessibles à tous. Ces livres sont en effet la propriété de tous et de toutes et nous sommes tout simplement les gardiens de ce patrimoine. Il s'agit toutefois d'un projet coûteux. Par conséquent et en vue de poursuivre la diffusion de ces ressources inépuisables, nous avons pris les dispositions nécessaires afin de prévenir les éventuels abus auxquels pourraient se livrer des sites marchands tiers, notamment en instaurant des contraintes techniques relatives aux requêtes automatisées.

Nous vous demandons également de:

+ *Ne pas utiliser les fichiers à des fins commerciales* Nous avons conçu le programme Google Recherche de Livres à l'usage des particuliers. Nous vous demandons donc d'utiliser uniquement ces fichiers à des fins personnelles. Ils ne sauraient en effet être employés dans un quelconque but commercial.

+ *Ne pas procéder à des requêtes automatisées* N'envoyez aucune requête automatisée quelle qu'elle soit au système Google. Si vous effectuez des recherches concernant les logiciels de traduction, la reconnaissance optique de caractères ou tout autre domaine nécessitant de disposer d'importantes quantités de texte, n'hésitez pas à nous contacter. Nous encourageons pour la réalisation de ce type de travaux l'utilisation des ouvrages et documents appartenant au domaine public et serions heureux de vous être utile.

+ *Ne pas supprimer l'attribution* Le filigrane Google contenu dans chaque fichier est indispensable pour informer les internautes de notre projet et leur permettre d'accéder à davantage de documents par l'intermédiaire du Programme Google Recherche de Livres. Ne le supprimez en aucun cas.

+ *Rester dans la légalité* Quelle que soit l'utilisation que vous comptez faire des fichiers, n'oubliez pas qu'il est de votre responsabilité de veiller à respecter la loi. Si un ouvrage appartient au domaine public américain, n'en déduisez pas pour autant qu'il en va de même dans les autres pays. La durée légale des droits d'auteur d'un livre varie d'un pays à l'autre. Nous ne sommes donc pas en mesure de répertorier les ouvrages dont l'utilisation est autorisée et ceux dont elle ne l'est pas. Ne croyez pas que le simple fait d'afficher un livre sur Google Recherche de Livres signifie que celui-ci peut être utilisé de quelque façon que ce soit dans le monde entier. La condamnation à laquelle vous vous exposeriez en cas de violation des droits d'auteur peut être sévère.

À propos du service Google Recherche de Livres

En favorisant la recherche et l'accès à un nombre croissant de livres disponibles dans de nombreuses langues, dont le français, Google souhaite contribuer à promouvoir la diversité culturelle grâce à Google Recherche de Livres. En effet, le Programme Google Recherche de Livres permet aux internautes de découvrir le patrimoine littéraire mondial, tout en aidant les auteurs et les éditeurs à élargir leur public. Vous pouvez effectuer des recherches en ligne dans le texte intégral de cet ouvrage à l'adresse `http://books.google.com`

B 1,326,254

LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN

UNIVERSITY OF MICHIGAN

BIBLIOTHÈQUE GRECQUE VULGAIRE

—

TOME VII

—

RECUEIL

DE

DOCUMENTS GRECS

RECUEIL

DE

DOCUMENTS GRECS

CONCERNANT LES RELATIONS

DU PATRIARCAT DE JÉRUSALEM AVEC LA ROUMANIE

(1569-1728)

PUBLIÉS PAR

ÉMILE LEGRAND

PROFESSEUR A L'ÉCOLE NATIONALE DES LANGUES ORIENTALES

SECONDE ÉDITION REVUE ET CORRIGÉE

PARIS

LIBRAIRIE ORIENTALE ET AMÉRICAINE

J. MAISONNEUVE, ÉDITEUR

6, RUE DE MÉZIÈRES ET RUE MADAME, 26 (VIe)

1903

PA
5015
.E5
1

General

ASSUMPTIONI THEODORÆ PALÆOLOGINÆ.

Docta Palæologi soboles, Assumptio, salve :
quod tibi dat, donat, dedicat auctor opus
accipe, et acceptum blandis clementer ocellis
inspice; candidula volve revolve manu;
expressumque typis te, Domna, iubente volumen
permaneat nostræ testis amicitiæ.

Parisiis, anno Chr. MCMII. Ætatis tuæ XXVII.

É. L.

Papyrology
Maisonneuve
6-15-25
11953

PRÉFACE

Les documents dont se compose le présent volume nous ont tous été fournis par feu le Prince Georges Maurocordato. Pour les numéros 1 à 139, la provenance de ceux qui ne sont pas des lettres missives a été soigneusement indiquée à la fin de chacun d'eux. Quant aux lettres, elles ont été transcrites sur les originaux conservés à la Bibliothèque du Métoque du S. Sépulcre à Constantinople.

Les copies de ces 139 pièces étaient généralement assez bonnes, bien qu'exécutées par un scribe peu versé dans l'orthographe de sa langue. Car il est impossible de ne pas mettre sur le compte d'un seul et même individu une graphie telle que ἶνε (au lieu de εἶναι), dont les exemples fourmillent dans lesdites copies. Une pareille façon d'orthographier n'a pu germer que dans la cervelle d'un Grec très moderne. C'est pourquoi nous n'avons pas hésité un seul instant à lui substituer l'orthographe usuelle. Nous avons agi de même pour les fautes occasionnées par l'itacisme.

Les documents tirés des manuscrits de Nicolas Critias, et numérotés de 1 à 14, n'émanent pas du même copiste que les 139 précédents, mais leur transcription est loin d'avoir été faite avec tout le soin désirable. Les scribes phanariotes sont, comme il est facile de le constater, de très piètres hellénistes, dont l'unique préoccupation consiste à gagner le plus de piastres possible, sans se soucier aucunement de la qualité de la marchandise qu'ils débitent. Nous ne saurions trop engager les savants européens à se défier de ces industriels sans vergogne.

La *Relation abrégée des héroïques exploits de Nicolas Maurogénis* ainsi que les différentes pièces qui la suivent sont la réimpression d'une plaquette rarissime dont le titre complet se trouve en tête. On verra que nous y avons introduit deux lettres pointillées : δ et π, qui équivalent à *d* et *b*, et se trouvaient d'ailleurs dans l'original.

Les deux discours adressés par le hiéromoine Joseph de Vatopédi au prince Alexandre Maurocordato, fils de Constantin, ont été imprimés sans aucune espèce de correction d'après la copie que m'avait fournie le prince Georges Maurocordato. Bien que faite sous la surveillance d'un « savant » phanariote, cette copie était la plus détestable de toutes celles que j'ai eues entre les mains.

Parmi ces documents, il en est certains qui nécessiteraient une copieuse annotation, ceux, par exemple, qui concernent la fondation des écoles. Il a été publié, en Roumanie, des études sur ce sujet qui nous auraient fourni de précieux éléments pour notre travail; mais notre connaissance des choses roumaines est trop peu étendue pour que nous ayons cru pouvoir nous risquer sur ce terrain. Nous avons pensé qu'il était préférable de nous borner au rôle modeste de « fournisseur de matériaux » plutôt que d'ambitionner la peu enviable gloire de construire un édifice dénué de solidité.

Tels que nous les offrons au public, nous avons la conviction que ces documents élucideront plus d'un fait resté obscur et surtout préciseront un certain nombre de dates. Le document n° 1, notamment, fournira un précieux commentaire à la *Chronique de Moldavie* de Grégoire Urechi (éd. Picot, p. 466). On consultera également avec fruit sur le même sujet le Προσκυνητάριον τοῦ ἁγίου ὄρους τοῦ Ἄθωνος de Jean Comnène (Venise, 1743, in-8°), p. 68.

Paris, vendredi 23 mai 1902.

RECUEIL

DE

DOCUMENTS GRECS

RELATIFS A L'HISTOIRE DE LA ROUMANIE

1

Ἡ Ῥωξάνδρα, σύζυγος Ἀλεξάνδρου τοῦ Λεπουσνιάνου, βοεβόδα Μολδοβλαχίας, δίδει χιλιάδας ἄσπρα τριάκοντα πέντε εἰς τὸ ἐν τῷ Ἁγίῳ Ὄρει μοναστήριον τοῦ Καρακάλου.

1569.

Ῥωξάνδρα δέσποινα πιστὴ ἐν Χριστῷ τῷ θεῷ, δούλη δὲ τῆς θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῆς δεσποίνης καὶ κυρίας ἡμῶν, σύζυγος εὐσεβῶς καὶ νομίμως κατὰ τοὺς θείους καὶ ἱεροὺς νόμους τοῦ εὐσεβοῦς καὶ ὀρθοδοξοτάτου αὐθεντὸς Ἰωάννου Ἀλεξάνδρου βοεβόδα πάσης γῆς Μολδοβλαχίας, τοῦ ἐπονομασθέντος εἰς τὸ θεῖον καὶ εὐαγγελικὸν σχῆμα Παχουμίου, δούλου τοῦ θεοῦ, εἰς δόξαν θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ καιρῷ ἐκείνῳ, ἐν ἔτει ζοζ', τότε ὅτε ὁ τοῦ σουλτὰν Σελίμη ἐλιαντζῆς, ὀνομαζόμενος Μουσταφᾶ τζελεπῆς, ἐλθὼν μετὰ βασιλικοῦ ὁρισμοῦ ἐπώλησε πάντα τὰ μοναστήρια, τά τε κινητὰ πάντα καὶ ἀκίνητα αὐτῶν, τότε οὖν ἐλθόντες οἱ ἐκ τῆς ἁγίας μονῆς τοῦ Καρακάλου εὑρισκόμενοι ἱερομόναχοι καὶ μοναχοὶ ἔκλαυσαν πικρῶς τὴν ἀδικίαν αὐτῶν καὶ τὸν τέλειον ἀφανισμόν, καὶ οὐκ ἔχοντες ἀλλαχοῦ που τὴν κεφαλὴν

κλῖναι εἰμὴ πρὸς ἡμᾶς, εὐσπλαγχνίσθη ἡ ἐμὴ ἐξουσία τὰ μέγιστα ἀκούσασα ταῦτα, διὸ καὶ δέδωκα αὐτοῖς τοῖς ῥηθεῖσι μοναχοῖς χρήματα ἱκανὰ εἰς τὸ ἐλευθερωθῆναι τὰ τοῦ μοναστηρίου κτήματα, καὶ δέδωκα χιλιάδας ἄσπρα λέ, ἤτοι τριάκοντα πέντε, ἕνεκα ψυχικῆς σωτηρίας · οἱ δὲ ῥηθέντες μοναχοὶ ὑποσχέθηκαν ὅπως ποιήσωσιν ἕνεκεν ἐμοῦ μνημόσυνα ἐξ τὸ κατ' ἔτος μέχρι τῆς συντελείας τοῦ κόσμου, τὴν ἑορτὴν τοῦ μεγάλου μου Νικολάου ἀγρυπνία διὰ παντὸς εἰς αἰῶνα τὸν ἅπαντα, κἂν τε πολλοὶ ὦσι, κἂν τε ὀλίγοι, μέχρι ἑνὸς ἢ δύο · διὸ καὶ δεσμὸν ποιήσαντες αὐτοθελῶς ὅστις τῶν καθευρεθέντων μοναχῶν ἐν τῇ ἁγίᾳ ἐκείνῃ μονῇ τοῦ Καρακάλου τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων ἀμελήσει τὸ τοιοῦτον, ὁ τοιοῦτος ἀφωρισμένος γενήσεται ἀπὸ θεοῦ παντοκράτορος, καὶ ἐχέτω τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων ἡμῶν τῆς ἐν Νικαίᾳ συνόδου, καὶ οὕτως ὑπεσχέθημεν, καὶ ἐντελλόμεθα ἀλλήλοις κατὰ διαδοχὴν οἱ ἐκ τῆς ἁγίας μονῆς τοῦ Καρακάλου ἐν τῷ ἁγιωνύμῳ Ὄρει.

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου.)

2

Καθαίρεσις τοῦ Οὐγκροβλαχίας Λουκᾶ.

1615 σεπτεμβρ.

Τιμόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ὅτι τοῖς κατὰ καιροὺς πατριάρχαις ἐδόθη ἄδεια νομικὴ καὶ κανονικὴ χειροτονεῖν ἀπαραιτήτως, καὶ ἀπροκριματίστως ἐν ταῖς ἑκασταχοῦ ἐπαρχίαις ἀρχιερεῖς, ψήφῳ τῶν ὑπ' αὐτῶν ἀρχιερέων, πρὸς ἁγιασμὸν καὶ ἐπίσκεψιν τῶν εὐσεβῶν, ἀναντίρρητόν ἐστι καὶ ἀναμφίβολον · ὅτι δὲ πάλιν καὶ οἱ χειροτονούμενοι ἀρχιερεῖς προτρέπονται καὶ ἐπιτιμῶνται παρὰ τῶν θείων καὶ ἱερῶν νόμων τε καὶ κανόνων πείθεσθαι καὶ ὑποτάσσεσθαι αὐτοῖς, καὶ κατ' οὐδένα τρόπον

ἐναντία φρονεῖν, καὶ τοῦτο ἀπό τε ἑτέρων, καὶ μάλιστα ἀπὸ τῆς ἐνυπογράφου τῆς χειροτονίας αὐτῶν ὁμολογίας, δῆλόν ἐστι καὶ σαφέστατον, ὅπερ, θεοῦ χάριτι, μέχρι τῆς σήμερον διεφυλάχθη ἀπαρασάλευτον, καὶ οὐδεὶς τῶν ὑπὸ τὴν ἡμετέραν ἐπαρχίαν ἀρχιερέων ἐφάνη ἀθετῶν · μόνος δὲ ὁ χρηματίσας μητροπολίτης Οὐγκροβλαχίας Λουκᾶς ἐγένετο ἀπειθὴς καὶ ἀνυπότακτος · καὶ γὰρ ἀφ' οὗ ὠνομάσθη μητροπολίτης τῆς αὐτῆς ἐπαρχίας, οὔτε ἔνευσε ποτὲ, ἢ ἔστερξε διδόναι τὸ νενομισμένον ἐτήσιον, ἢ ἑτέραν τινὰ βοήθειαν εἰς τὰς ἀναγκαίας χρείας τῆς καθ' ἡμᾶς Ἐκκλησίας, ὡς καὶ οἱ λοιποὶ συναδελφοὶ αὐτοῦ ἀρχιερεῖς, οὔτε ὅλως ὑποδοχὴν καὶ δεξίωσιν ἐνεδείξατο πρὸς ἀνθρώπους ἐκκλησιαστικοὺς, ἀλλὰ κατεφρόνει καὶ εἰς οὐδὲν ἐλογίζετο. Καὶ ταῦτα γινώσκων καλῶς, ὡς ἐπιβατικῶς ἐγκρατὴς ἐγένετο τοῦ θρόνου αὐτοῦ, καὶ εἰς ἄλλας μυρίας παρανομίας καὶ ἀτοπίας ἔνοχος καὶ ὑπαίτιος · τούτου ἕνεκεν καὶ ἀποφαινόμεθα γνώμῃ κοινῇ συνοδικῇ, τοῦ τε μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων κὺρ Θεοφάνους καὶ τῶν λοιπῶν ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα αὐτὸς μὲν ὁ δηλωθεὶς μητροπολίτης Οὐγκροβλαχίας Λουκᾶς, ὡς ἀπειθὴς καὶ ἀνυπότακτος καὶ ἐπιβάτης, καὶ χαίρων ἐπὶ παρανομίαις καὶ ἀσωτείαις, ὑπάρχῃ καθῃρημένος, καὶ γεγυμνωμένος πάσης ἀρχιερατικῆς ἐνεργείας καὶ τάξεως, καὶ ἔκπτωτος τοῦ θρόνου καὶ τῆς τιμῆς αὐτοῦ · ἕτερος δὲ ἀντ' αὐτοῦ χειροτονηθῇ ἀκωλύτως καὶ ἀνεμποδίστως, νομίμως τε καὶ κανονικῶς · ὅθεν καὶ εἰς διηνεκῆ τὴν ἀσφάλειαν ἐγράφη καὶ κατεστρώθη ἐν τῷ ἱερῷ τούτῳ κώδηκι τῆς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει ,ζρκδ', ἐν μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος ιέ.

† Θεσσαλονίκης Παρθένιος.

† Μεσημβρίας Ἀχίλλειος.

† Γαγγρῶν Γαβριήλ.

† Κίτρου Ἱερεμίας. †.

(Ἐκ τοῦ 242 ἁγιοταφικοῦ χειρογράφου.)

3

Ἐκλογὴ νέου μητροπολίτου Οὐγκροβλαχίας.

1616 σεπτεμβρίου 2.

Τῆς ἁγιωτάτης μητροπόλεως Οὐγκροβλαχίας δίχα γνησίου προστάτου ἐναπομεινάσης, ἅτε τοῦ ἐκεῖσε ἀρχιερατεύοντος ἐπιβατικῶς Λουκᾶ καθαιρέσει τελείᾳ καθυποβληθέντος, ὡς φαίνεται ἐν τῷ παρόντι ἱερῷ τούτῳ κώδηκι, προτροπῇ τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ κὺρ Τιμοθέου, συνελθόντες ἡμεῖς οἱ καθευρεθέντες ἀρχιερεῖς, ἐν τῷ πανσέπτῳ καὶ θείῳ ναῷ τοῦ μεγαλομάρτυρος Γεωργίου, τῷ νέῳ πατριαρχείῳ, ἐποιήσαμεν ψήφους κανονικὰς δι' αὐτὴν, ἐν αἷς, πρῶτον μὲν ἐθέμεθα τὸν πανιερώτατον μητροπολίτην πρώην Γάνου καὶ Χώρας κὺρ Μακάριον, δεύτερον δὲ τὸν ὁσιώτατον πρωτοσύγκελλον Ἰγνάτιον τὸν ἱερομόναχον, καὶ τρίτον τὸν ὁσιώτατον πρωτοσύγκελλον ἐν ἱερομονάχοις κὺρ Ἄνθιμον. Ὅθεν καὶ εἰς ἀσφάλειαν ἐγράφησαν καὶ ἐν τῷ παρόντι κώδηκι.

Ἐν ἔτει ,ζρκέ, σεπτεμβρίῳ β'. ἰνδικτιῶνος ιέ.

† Θεσσαλονίκης Παρθένιος.

† ὁ Μεσημβρίας Ἀχίλλειος.

† ὁ Γαγγρῶν Γαβριήλ.

† ὁ πρώην Ἀθηνῶν Λαυρέντιος.

† ὁ Κίτρου Ἱερεμίας.

(Ἐκ τοῦ 242 ἁγιοταφικοῦ χειρογράφου.)

4

Γράμμα σιγιλλιῶδες πατριαρχικὸν καὶ συνοδικὸν περὶ τῆς ἀσυδοσίας καὶ ἐλευθερίας τοῦ χωρίου Πογιάνι καὶ τῶν αὐτοῦ κατοίκων, δωρηθέντος ὑπὸ τοῦ ἡγεμόνος Οὐγκροβλαχίας Λέοντος δι' αὐθεντικοῦ χρυσοβούλλου εἰς τὸν πανάγιον Τάφον.

1630 ὀκτωβρ.

Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Τὰ κατὰ θεῖον σκοπὸν γινόμενα πάντα καλὰ λίαν εἰσὶ καὶ πρὸς θεὸν εὐπρόσδεκτα, καὶ μᾶλλον ὅτε τὶς αὐτὰ ἡνίκα δεῖ, καὶ ὅπου δεῖ ἐναποθησαυρίσειε, κρίσιν ἐν καλοῖς ποιούμενος, καὶ τὰ καλὰ τοῖς καλλίστοις ἀνατιθέμενος, φανερὸν πάντως καὶ πρόδηλον, ὡς κατορθουμένων ἔργων ἀειμνήστων καὶ μακαρίων, πολλὴν τὴν λυσιτέλειαν κοινῶς πᾶσι ποιούντων. Ἐπεὶ τοίνυν καὶ ὁ εὐσεβέστατος καὶ ἐκλαμπρότατος αὐθέντης πάσης Οὐγκροβλαχίας κύριος Ἰωάννης Λέων βοεβόνδας, κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς τῆς ἡμῶν μετριότητος, φύσεως ὢν ἀγαθῆς, καὶ πολλὰ περὶ τὰ θεῖα ποιούμενος τὴν φροντίδα, ζῆλόν τε ἀναλαβὼν ἔνθεον καὶ διάπυρον ἔρωτα, χρησάμενος τῇ φιλοτιμίᾳ, καὶ θέλων πορείαν τινὰ πτᾶσθαι, καὶ ἔχειν τὸν ζωοδόχον Τάφον τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν λοιπῶν αὐτοῦ θεοβαδίστων τόπων, ἀνακουφισμοῦ ἕνεκα καὶ ἐπικουρίας τῶν συνεχῶς γιγνομένων αὐτῷ ἀνυποφόρων χρεῶν, ὑπὲρ ὧν καὶ ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ κὺρ Θεοφάνης, ὁ ἐν ἁγίῳ πνεύματι ποθεινότατος ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἐπηρεάζεται καὶ ἀπαιτεῖται ὅτι μάλιστα, προσηλώσατο καὶ ἀφιερώσατο ἐν αὐτῷ τῷ ζωοδόχῳ Τάφῳ τὸ χωρίον Πογιάνι τὸ ἐν τῷ κανδηλικίῳ Βλάσκα, ὅπερ ἐστὶ τοῦ κατὰ τὴν ἀγορὰν τοῦ Μπουκουρεστίου ἁγίου Γεωργίου, κατασφαλίσας χρυσοβούλλῳ αὐτοῦ, ὑπογραφαῖς ἔχοντι ἀρχόντων πολλῶν, τοῦ Ῥίζου βορνίκου, τοῦ Βλάντου μεγάλου λογοθέτου,

τοῦ Ἰωάννου μεγάλου βιστιάρη, τοῦ Μίχου μεγάλου σπαθάρη, τοῦ Μουσάτου μεγάλου στολνίκου, τοῦ Μπουζούσκα μεγάλου κομίσου, τοῦ Βασιλείου μεγάλου μπαχαρνίκου, τοῦ Ἀλεξανδρῆ μεγάλου ποστελνίκου, καὶ ἄλλων πολλῶν, βεβαιώσαντος τὸ αὐτὸ χρυσόβουλλον καὶ τοῦ κατὰ τόπον ἱερωτάτου μητροπολίτου Οὐγκροβλαχίας κὺρ Γρηγορίου, καὶ τῶν θεοφιλεστάτων ἐπισκόπων Ῥυμνίκου, καὶ Ἐφραὶμ Μπουζέου, καὶ δοὺς αὐτῷ τὴν ἐλευθερίαν ταύτην, τοῦ εἶναι ἀκαταπάτητον, ἀσύδοτον καὶ ἀνενόχλητον, παρὰ παντὸς προσώπου αὐθεντικοῦ καὶ ἀρχοντικοῦ, ἔν τε τῷ ἑκάστῳ μηνὶ παρεχομένῳ χαρατζίῳ καὶ τοῖς δικαιώμασι τῆς γαλιάτας τοῦ χόρτου, τῶν βοῶν, τῶν προβάτων, τῶν λεγομένων σάκα, τῶν αὐθεντικῶν ἵππων, τοῦ μέλιτος, τοῦ κηρίου, τῆς δεκατίας τῶν μελισσίων, τῶν προβατονομίων, τῶν χοίρων, τοῦ αὐθεντικοῦ κρασονομίου, τοῦ τυρονομίου, τοῦ βασιλικοῦ χαρατζίου, τοῦ αὐθεντικοῦ κανισκίου, ἡνίκα τὴν αὐθεντείαν λαμβάνει αὐθέντης νέος, τῶν δανειακῶν, τοῦ ἑνὸς φλωρίου τοῦ χόρτου, τῆς κάζιας τῆς ἄκρας, τοῦ καπνιάτικου, τῶν διερχομένων μπάνων ἐν ταῖς ἄκραις, τῶν ἑτέρων μπάνων τῶν περιπατούντων ἐν τοῖς καδηλικίοις, τῶν στολνίκων τῆς γραίκας, ἤτοι μὴ ἐχόντων ἄδειαν λαμβάνειν βάμα ἐκ τῶν ἰχθύων τῆς μπάλτας, τῆς ἐν τῷ χωρίῳ αὐτῷ Πογιάνι οὔσης, τῶν ἵππων τῶν ὀλάκηδων, τῶν ποτβόντων, τοῦ χαρατζίου τοῦ μολτεβενέσκου, τῶν μερτικίων, τῶν ῥιπτόντων ἐν τῷ χωρίῳ παρὰ τοῦ αὐθεντὸς προβάτων, καὶ ἀγοραζόντων εἰς μερτίκια τῶν ἐξωτερικῶν, τοῦ παζηνασίου, τῶν ξύλων, τῶν σανιδίων, τῆς αὐθεντικῆς δουλείας, τοῦ χλωροῦ χόρτου, τοῦ ζαϊρὲ καὶ τῶν λοιπῶν συδοσιμάτων τῆς αὐθεντικῆς τζάρας τοῦ ἐνιαυτοῦ ὅλου · ὡσαύτως καὶ τοὺς ἐν τῷ χωρίῳ αὐτῷ Πογιάνι οἰκοῦντας Βλάχους, τοὺς ὄντας ἐγγεγραμμένους ἐν τῷ χρυσοβούλλῳ ὀνομαστὶ, Πατούλην, Κάλενον, Στᾶνον, Μεθόδιον, Στᾶνον, Κόρμπεν, Πικατούρην, Τόμπρεν, Μαρῖνον, Στᾶνον, Ῥάνδολον Μουκάνου, Βλάντουλον, Μπάλιαν, Μπόγδανον Γιόκαν, Ἰουλ (?), Ντρεζᾶνον, Ντᾶνον, Ντομπρίκαν, Ἰωβὰν, Τερτζίλαν, Μπούρλιαν, Στάτζουλον. Ἰὼν, Νάξουλον, Στώϊκαν, Τζούρκαν, Μάρεσην, Μίκουλαν, Σέρμπου-

λον, Μαρτῖνον, Ῥάδουλαν, Νάγκουλον, Στωϊᾶνον, Νάγκουλον, Φλόκαν, Ῥάντε, Ντάϊκον, Ἰσλάτε, Στᾶνον, Στέλιαν, Μόσουλ, Βλάντουλον, Ῥάντουλον, Στώϊκαν, Ὄπριαν, Ντόμπρε, Μιρκὰν, Μπάτζον, Νικόλα μετὰ τῶν ἀδελφῶν αὐτοῦ καὶ τῶν παίδων · καὶ τοὺς ἐξ ἀλλοδαπῆς ἀφιγμένους χρέους δίχα τοὺς ὄντας πέραν τοῦ Δουνάβεως ἢ Σέρβους, ἢ Ῥωμαίους, ἢ Ἀλβανοὺς, ἢ ἀπὸ τῆς Μολδόβας, ἢ καὶ ἀρχοντικοὺς Βλάχους, αὐθεντικὸν χρέος μὴ ἔχοντας, καὶ ἑτέρους, καὶ μηδεμίαν ἔχειν ἐξουσίαν τοὺς μπάνους, καὶ τοὺς περκαλάμους, καὶ ἄλλους εἰσέρχεσθαι ἐν τῷ προσηλωμένῳ αὐτῷ χωρίῳ, καὶ ζητεῖν τι τῶν ἀνωτέρω, ὡς εἴρηται, καὶ λαμβάνειν, καὶ ἐνοχλεῖν τοὺς ἐγχωρίους, καὶ κατατυραννεῖν, ἐκτὸς μόνον τὸν ἀπὸ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων καθιστῶντα ἡγούμενον τοῦ μοναστηρίου ἁγίου Γεωργίου · καὶ ἐζητήθη καὶ παρ' ἡμῶν ἐπιβραβευθῆναι τῷ χρυσοβούλλῳ καὶ ἡμέτερον πατριαρχικὸν γράμμα.

Τούτου χάριν ἡ μετριότης ἡμῶν γράφει καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, γνώμῃ κοινῇ συνοδικῇ, ἵνα, ἀπὸ τοῦ νῦν καὶ εἰς αἰῶνα τὸν ἅπαντα, τὸ μὲν χωρίον αὐτὸ Πογιάνι, κατὰ τὸ αὐθεντικὸν ἔγγραφον, καὶ τὰ παρ' αὐτῷ ἀρχιερατικὰ γράμματα, εἴη καὶ διαμένῃ ἀπαρασάλευτον καὶ ἀπόσπαστον, ἄχρις οὗ ὁ ἥλιος ἐφορᾷ, ὑπὸ τὴν ἐξουσίαν καὶ δεσποτείαν τοῦ τε νῦν ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων, καὶ τῶν μετ' αὐτὸν, διοικούμενον καὶ κυβερνούμενον παρ' αὐτοῦ τε καὶ τῶν ὑπ' αὐτοῦ πεμπομένων πατέρων, φροντιζόντων διὰ παντὸς τὴν διαμονὴν αὐτοῦ καὶ αὔξησιν, καὶ οἱ ἐν αὐτῷ οἰκοῦντες, ὡς προδεδήλωται, ὦσιν ἐλεύθεροι, ἀδούλωτοι καὶ ἀκαταζήτητοι παρὰ πάντων τῶν βασιλικῶν καὶ αὐθεντικῶν συδοσιμάτων καὶ βάρεων · ὃς δ' ἂν τῶν μετὰ ταῦτα, ἢ ἄρχων, ἢ ἀρχόμενος, ἢ ἀρχιερεὺς, ἢ μικρὸς, ἢ μέγας, ἢ καὶ τῶν κατὰ καιροὺς αὐθέντων Οὐγκροβλαχίας θελήσῃ κατά τινα τρόπον ἀνατρέψαι οὐ μόνον τὸ αὐθεντικὸν αὐτὸ χρυσόβουλλον τοῦ εὐσεβεστάτου αὐτοῦ καὶ ἐκλαμπροτάτου αὐθέντου Οὐγκροβλαχίας, κυρίου Ἰωάννου Δέοντος βοεβόνδα, ἀλλὰ καὶ τὴν ἡμετέραν ἀπόφασιν παραβλέψαι, καὶ τὴν ἐλευθερίαν τοῦ χωρίου αὐτοῦ διαλῦσαι, καὶ ἀποξενῶσαι τῆς δεσποτείας τοῦ ἁγίου

Τάφου, καὶ εἰς ἰδίαν ἐξουσίαν καταγαγεῖν αὐτὸ, καὶ τοὺς οἰκοῦντας ἐν αὐτῷ διασεῖσαι, ἀφωρισμένος ἔστω [ἕπονται αἱ συνήθεις ἀραί]. Οὕτως ἀπεφηνάμεθα. Ἐγράφη δὲ τὸ παρὸν τῆς ἡμῶν μετριότητος βεβαιωτικὸν γράμμα τῆς ἀφιερώσεως καὶ προσηλώσεως τῷ ἁγίῳ Τάφῳ τοῦ χωρίου αὐτοῦ, καὶ ἐπεδόθη τῷ ἁγιωτάτῳ καὶ πατριαρχικῷ θρόνῳ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, εἰς πλείονα καὶ διηνεκῆ τὴν ἀσφάλειαν, καὶ μνημοσύνου ἕνεκα τοῦ εὐσεβεστάτου αὐτοῦ αὐθέντου κυροῦ Ἰωάννου Δέοντος, ἐν ἔτει ϛχλ΄, μηνὶ ὀκτωβρίῳ, ἰνδικτιῶνος ιδ΄.

† Κύριλλος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† Θεοφάνης ἐλέῳ θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ.

† ὁ Τουρνόβου Μακάριος.

† ὁ Μονεμβασίας Νεόφυτος.

† ὁ Βερροίας Κύριλλος.

† ὁ Αἴνου Παρθένιος.

† ὁ Σηλυβρίας Λαβρέντιος.

† ὁ Νικομηδείας.

† ὁ Φιλιππουπόλεως Χριστοφόρος.

† ὁ Ἀμασίας Ζαχαρίας.

† ὁ Ἰκονίου Ἀβέρκιος.

† ὁ Γαρδικίου Γρηγόριος.

† ὁ μέγας ῥήτωρ τῆς μεγάλης ἐκκλησίας, ἔχων τὰς γνώμας τῶν πανιερωτάτων ἀρχιερέων τοῦ Ναυπάκτου καὶ Ἄρτης, τοῦ Μιτυλήνης, τοῦ Μεθύμνης καὶ τοῦ Βάρνης.

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου.)

5

Γράμμα Βασιλείου βοεβόδα Μολδοβλαχίας πρὸς τὸν Ἰωάσαφ, ἀρχιεπίσκοπον Σινᾶ.

1645 αὐγούστου 10.

Ἰωάννης ἐλέῳ θεοῦ αὐθέντης Βασίλειος βοεβόνδας πάσης Μολδοβλαχίας.

Θεοφιλέστατε ἀρχιεπίσκοπε Σινᾶ, κὺρ Ἰωάσαφ, καὶ ὁσιώτατοι ἱερομόναχοι καὶ μοναχοὶ οἱ καὶ λοιποὶ γέροντες τῆς συνάξεως, τὴν ὑμετέραν ἀγάπην ἀκριβῶς χαιρετοῦμεν.

Ὁ σκοπὸς τοῦ παρόντος μας γράμματος δὲν εἶναι ἄλλος, παρὰ νὰ σᾶς δώσωμεν εἴδησιν νὰ γνωρίζετε ὅτι, ἔστωντας καὶ προλαβὼν νὰ μᾶς γράψετε διὰ τὸ μετόχιόν σας, ὅτι εἰς τὸν καιρὸν τῶν πρόπαλαι πατριαρχῶν Ἀλεξανδρείας, κὺρ Ἰωακεὶμ καὶ Σιλβέστρου, καὶ κὺρ Μελετίου, ἀνεμποδίστως καὶ ἀναμφιβόλως, καὶ μὲ κάθε λογῆς δίκαιον, ἐλειτουργήσετε ἐν αὐτῷ τῷ μετοχίῳ, καὶ μόνος ὁ γέρων Κύριλλος ὁ πατριάρχης τὸ ἐμπόδισε νὰ μὴν γίνεται, καὶ νὰ μὴν τελειώνεται ἡ θεία καὶ ἱερὰ μυσταγωγία ἐκεῖσε, καὶ ὁ ἡγούμενος ὑμῶν κὺρ Θεοφάνης ἐρχόμενος ἐδῶ, καὶ ὁ ἐνταῦθα εὑρισκόμενος πανιερώτατος μητροπολίτης γέρων πρώην Βερροίας κὺρ Ἀβέρκιος, νὰ μᾶς παραδώσουν τὴν αὐτὴν ὑπόθεσιν, πῶς ἔκπαλαι καὶ ἐξ ἀρχῆς ἔτζη ἦτον, καὶ ἐκεῖ ἐλειτουργοῦσαν οἱ τοῦ Σινᾶ ὅρους πατέρες, καὶ ὕστερον ἐμποδίσθη, μᾶς ἐφάνη καὶ ἡμᾶς παράδοξον καὶ ἀνάρμοστον, ὅτι νὰ ἐμποδίζεται τὸ μοναστήριον τῆς θείας μυσταγωγίας, ὁποῦ τὸ περισσότερον πρέπει νὰ αὐξάνῃ, καὶ ὄχι νὰ ὀλιγοστεύῃ, ἐκινήθημεν καὶ ἡμεῖς, ἐπειδὴ ἐσυμβοηθήσαμεν καὶ μερικὸν εἰς τοὺς αὐτοὺς τόπους, καὶ ἐδιωρίσαμεν ὅτι ἕνα πρᾶγμα ὁποῦ ἦτον ἔκπαλαι καὶ ἀρχῆθεν ἔτζη, ἂς μὴν ἐμποδισθῇ, μόνον πάλιν ἂς γίνεται ὡς καὶ πρότερον.

Ἔτζη ὁ μακαρίτης Νικηφόρος, ἀκούωντάς το αὐτό, ἐλυπήθη καὶ,

μὴ ἀνεχόμενος τοῦτο, ἦλθε πρὸς τοῦ λόγου μας κλαίων καὶ ὀδυρόμενος διὰ τὸ πρᾶγμα τοῦτο, καὶ λέγωντας πῶς αὐτὴ ἡ διαίρεσις νὰ προξενῇ παντελῆ ἐρήμωσιν καὶ ἀφανισμὸν τοῦ πατριαρχικοῦ αὐτοῦ θρόνου, ὅτι πώποτε δὲν ἦτον δοσμένον καὶ συγκεχωρημένον παρά τινος νὰ γίνεται ἐκεῖ λειτουργία. Καὶ ἀπὸ τὸ ἄλλο μέρος πάλιν καὶ ὁ ἡγούμενός σας, ὁ ῥηθεὶς κὺρ Θεοφάνης, καὶ ὁ Βερροίας γέρων Ἀβέρκιος ἐδικαιολογοῦνταν καὶ ἔλεγαν ὅτι αὐτὸ τὸ πρᾶγμα νὰ μὴν εἶναι μεταγενέστερον, μόνον τὸ μετόχιον αὐτὸ νὰ εἶναι ἀπὸ τὸν καιρὸν τοῦ Ἰουστινιανοῦ, καὶ μόνον ἀπὸ τὸν καιρὸν τοῦ γέροντος Κυρίλλου καὶ ἐδῶθεν ἐμποδίσθη ἡ λειτουργία · ἔτζη ἡμεῖς ἀγαπῶντες τὸ δίκαιον, καὶ θέλοντες νὰ εὕρωμεν τὴν καθαρὰν ἀλήθειαν, δὲν ἐδώσαμεν ἀκρόασιν μήτε εἰς τοῦ κὺρ Νικηφόρου τοὺς λόγους, μήτε εἰς τοῦ ἡγουμένου καὶ τοῦ Βερροίας · καὶ ἔτζη, μιᾶς τῶν ἡμερῶν, παρόντος καὶ τοῦ κὺρ Νικηφόρου καὶ αὐτουνῶν, ἐδιωρίσαμεν ὅτι νὰ στείλωμεν ἄνθρωπον ἐδικόν μας ἐπὶ ταὐτοῦ εἰς τὰ αὐτόθι, νὰ εἰρηνεύσῃ καὶ νὰ ἐξετάσῃ καταλεπτῶς ἐν φόβῳ θεοῦ, παρὰ πάντων τῶν αὐτόθι χριστιανῶν δι' αὐτὴν τὴν ὑπόθεσιν τοῦ μετοχίου · καὶ εἰ μὲν ἤθελε φανῇ ὅτι ἀπὸ τὸν καιρὸν τῶν πατριαρχῶν Ἀλεξανδρείας, Ἰωακεὶμ, Σιλβέστρου καὶ Μελετίου, νὰ ἐτελειώνουνταν λειτουργία εἰς αὐτὸ τὸ μετόχιον, καὶ νὰ εἶναι καὶ ἀπὸ τὸν καιρὸν τοῦ Ἰουστινιανοῦ, ἔτζη νὰ ἐπιτελῆται πάλιν ἡ λειτουργία ἐκεῖσε καθὼς καὶ πρότερον, καὶ ὁ κὺρ Νικηφόρος τοῦ λοιποῦ νὰ μὴν ἔχῃ νὰ δικαιολογῆται τίποτες · εἰ δὲ πάλιν καὶ ἤθελε φανῇ ὅτι πρότερον νὰ μὴν ἐγίνουνταν ἐκεῖ λειτουργία, μόνον ὕστερον ἄρχισεν ἀπὸ τὸν καιρὸν τοῦ γέροντος Κυρίλλου καὶ ἐδῶθεν, νὰ μὴν ἔχῃ τὸ κῦρος, καὶ τοῦ λοιποῦ νὰ μὴν λειτουργῇ τινας ἀπὸ λόγου σας ἐκεῖ, ἐπειδὴ καὶ εἶναι νεωτερισμὸς, καὶ νὰ εὐγοῦμεν καὶ ἡμεῖς ἀπὸ κάθε λογῆς ὑποψίαν. Ἔτζη εἰς τὸ μεταξὺ ἐμακαρίσθη καὶ ὁ κὺρ Νικηφόρος, καὶ δὲν ἐπρόφθασε νὰ ὑπάγῃ ὁ ἄνθρωπός μας, καὶ ἐμετετέθη εἰς τὸν θρόνον αὐτὸν ὁ πανιερώτατος μητροπολίτης Βερροίας κὺρ Ἰωαννίκιος, ψήφῳ κανονικῇ καὶ ἐκλογῇ πάντων, κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, καὶ ἀπεκατεστάθη πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως

Ἀλεξανδρείας, καὶ κριτὴς τῆς οἰκουμένης · ὁ ὁποῖος ὄχι μονᾳχὰ τυγχάνει ἡμέτερος περιπόθητος, καὶ ἀγαπητὸς, καὶ πιστότατος φίλος ἐν πᾶσι, καὶ ἀληθὴς, καὶ ἐνάρετος, καὶ καλὸς ἄνθρωπος, μὰ καὶ γέννημα καὶ θρέμμα τοῦ τόπου αὐτοῦ, καὶ ἐχάρημεν καὶ ἡμεῖς εἰς τὴν αὐτοῦ ἀναβίβασιν ἐπὶ τὸν πατριαρχικὸν αὐτὸν θρόνον, γνωρίζοντές τον ἄξιον καὶ δυνατὸν ὁποῦ νὰ κυβερνήσῃ καὶ νὰ διοικήσῃ τὸ ποίμνιον αὐτὸ ἀποστολικῶς, νομίμως τε καὶ κανονικῶς · καὶ ἔτζη ἡ μακαριότης του μᾶς ἔδειξεν εἰς πλείονα τὴν πληροφορίαν, καὶ πίστωσιν καθαρὰν, τὰ ἴσα τῶν τόμων ὁποῦ ἐγίνησαν δι' αὐτὴν τὴν ὑπόθεσιν ἀπὸ τοὺς τρεῖς πατριάρχας κὺρ Τιμόθεον οἰκουμενικὸν, κὺρ Σωφρόνιον Ἱεροσολύμων, καὶ κὺρ Ἰωακεὶμ Ἀντιοχείας · οἱ ὁποῖοι τόμοι διορίζουν φανερὰ καὶ δηλοποιοῦν πῶς παντοίοις τρόποις οἱ πατριάρχαι ἐκεῖνοι τὸ ηὕραν παράλογον καὶ παρείσπρακτον νὰ τελειώνεται λειτουργία εἰς τὸ μετόχιον αὐτὸ, ἔστωντας καὶ νὰ προξενῇ σκάνδαλον μέγα, καὶ ζημίαν τοῦ πατριαρχικοῦ θρόνου · ἐξόχως δὲ μᾶς ἐνεφάνησε καὶ τὸ ἴσον τοῦ τόμου ὁποῦ ἐγίνη ἀπὸ τὴν ἰδίαν θεοφιλίαν σου ἐν τῷ καιρῷ τοῦ πατριάρχου Ἀλεξανδρείας κὺρ Γερασίμου, ἐν ἔτει ϛχμβ', μαΐου ιή, μὲ ταῖς ὑπογραφαῖς τῶν αὐτόθι πατέρων, ἐν ᾧ ἀραῖς καὶ ἀφορισμῷ καὶ ἀναθέματι καθυποβάλλεις σεαυτὸν, ἐάν ποτε θελήσῃς τοῦ λοιποῦ καθ' οἷον δή τινα τρόπον τελέσαι ἐν τῷ μετοχίῳ αὐτῷ λειτουργίαν.

Εἰς τοῦτο καὶ ἡμεῖς λοιπὸν, μετὰ τοὺς τόμους τῶν τριῶν πατριαρχῶν, καὶ τὸ περισσότερον κατὰ τὸ οἰκειόχειρόν σου ἔγγραφον, τῆς ὑποθέσεως τόμον, βλέποντες αὐτὸ τὸ πρᾶγμα νὰ εἶναι ἀπαγορευόμενον ὑπὸ τοσούτων, καὶ ὁποῦ δὲν ἦτον ἐξ ἀρχῆς, καὶ μάλιστα ὁποῦ (ὡς λέγεται) τὸ μετόχιον τὸ παλαιὸν νὰ τὸ ἔσυρε τὸ ποτάμι, καὶ αὐτὸ τὸ σπῆτι ὁποῦ τὴν σήμερον φαίνεται νὰ σᾶς τὸ ἔκαμεν ἐλεημοσύνης χάριν βακούφη ὁ Χούρη Ἀμποτάλας, ὁ ἀδελφὸς τοῦ μακαρίτου ἄρχοντος Σεϊντουλλὰχ, ἐν τῷ καιρῷ τοῦ πατριάρχου Ἀλεξανδρείας κὺρ Μελετίου, καὶ εἶναι καινούργιον καὶ μεταγενέστερον · καὶ μὴ ἀγαπῶντες εἰς τὸν καιρὸν τῆς ζωῆς μας ὅτι νὰ κλίνωμεν εἰς πράγματα καινούρια καὶ ὄχι παλαιὰ καὶ ἐξ ἀρχῆς, καὶ μάλιστα νὰ

γινώμεσθεν αἰτία ζημίας καὶ βλάβης τοῦ πατριαρχικοῦ θρόνου, καθὼς καὶ ὁ μακαρίτης κὺρ Νικηφόρος ἔκλαιε καὶ ὠδύρετο πῶς μὲ τοῦτο τὸ παράλογο κινδυνεύει νὰ χαλασθῇ ὁ θρόνος, καὶ τώρα πάλιν ὁμοίως ὁ νῦν μακαριώτατος κὺρ Ἰωαννίκιος, δὲν ἐκρίναμεν συμφέρον καὶ ἁρμόδιον νὰ συναινέσωμεν εἰς αὐτὸ, καὶ νὰ βαλθοῦμεν ὅτι νὰ ἔχῃ τὸ κῦρος, ἐπειδὴ καὶ εἶναι κάμωμα μεταγενέστερον, καὶ ὄχι παλαιὸν, καθὼς πρότερον μὲν ἐδηλοποιούσετε, διατὶ ἡμεῖς θαρροῦντες πῶς νὰ ἦτον ἔκπαλαι καὶ ἐξ ἀρχῆς νὰ γίνεται ἐκεῖ λειτουργία εἰς αὐτὸ, ἐκινήθημεν καὶ συνηνέσαμεν. Μὰ ἐπειδὴ καὶ τώρα ἐπληροφορήθημεν παρ' αὐτοῦ τοῦ νῦν κὺρ Ἰωαννικίου κατὰ τὰ ἔγγραφα τὰ ἀνωτέρω ὁποῦ μᾶς ἔδειξεν, ἐσερθήκαμεν ἀπ' αὐτὸ τὸ ἐπιχείρημα, μήτως καὶ ἐξ ἀγνοίας πέσωμεν εἰς παράπτωμα, καὶ ἔχει χαλασμὸν ὁ πατριαρχικὸς θρόνος, καὶ εἰς αὐτὸ θέλει συμπαθήσῃ ἡ ὑμετέρα ἀγάπη, ὅτι δὲν τὸ κρίνομεν ἁρμόδιον νὰ ἐπιχειριζώμεσθεν νεωτερισμούς· μόνον τὰ τῶν παλαιῶν ὅσον εἶναι δυνατὸν ἐπιχειρήματα νὰ κρατοῦμεν ἀδιάσειστα, ἐπειδὴ καὶ ἕνας λόγος λέγει : μὴ ὑπερβαίνετε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες ὑμῶν, καὶ θέλετε κυβερνᾷ τὸ πρᾶγμα, καθὼς ἔκπαλαι καὶ ἐξ ἀρχῆς εἰρηνικῶς τε καὶ ἀταράχως, καὶ χωρὶς κανένα σκάνδαλον, ἢ ζημίαν τινὰ, καὶ ἡ ὑμετέρα ἀγάπη θέλει δεικνύει πρὸς τὸν κατὰ καιροὺς πατριάρχην Ἀλεξανδρείας, καὶ μάλιστα τὸν νῦν μακαριώτατον κὺρ Ἰωαννίκιον, τὴν προσήκουσαν τιμὴν, φιλίαν, καὶ δεξίωσιν, καὶ εὐπείθειαν καὶ εὐλάβειαν, διὰ τὸ πλέον εἰρηνικώτερον καὶ ἀζήμιον. Ἐπειδὴ καὶ ἡ μακαριότης του εἶναι καὶ πατριάρχης καὶ προεστὼς τοῦ θρόνου τούτου, καὶ ποιμὴν, καὶ ἡμέτερος φίλτατος καὶ περιπόθητος, ἐνάρετος καὶ καλὸς, καὶ σώφρων καὶ ἄξιος ἐν πᾶσι, καὶ νουνεχὴς καὶ λόγιος, καὶ πολιτείας ἀγαθῆς, καθὼς καὶ ἡμεῖς ἐδῶ τὸν ἐγνωρίσαμεν καὶ ἡ ὑμετέρα ἀγάπη αὐτοῦ τὸν ἠξεύρετε ὁποῦ ἀνετράφη ἐν μέσῳ ὑμῶν καλώτατα, καὶ ἀκούοντες τὴν εἰρήνην καὶ ἀγάπην, ὁποῦ θέλει εἶσται μεταξὺ ἡμῶν, θέλομεν τὸ ἔχῃ εἰς χαρὰν μεγάλην, διατὶ δὲν εἶναι τῆς γνώμης μας ὁποῦ νὰ ἔχῃ ἡ μακαριότης του πείραξίν τινα, ἢ ἐνόχλησιν, ἢ λύπην, ἢ σκάνδαλον, ἢ ζημίαν, καὶ αὐτὸ τὸ πληρο-

φοροῦμαι, πῶς θέλει εἶσται καθὼς γράφομεν, καὶ θέλετε κυβερνηθῆ μαζὶ μὲ τὴν μακαριότητά του ὡς ἀρεστὸν καὶ φίλον θεῷ καὶ ἡμῖν, διατὶ τὰ σκάνδαλα καὶ τὰ πάθη δὲν εἶναι καλὰ, ἔστωντας καὶ νὰ προξένοῦσι ζημίας, καὶ περισσοτέρα βλάβη θέλει εἶσται τῆς ὑμετέρας ἀγάπης, παρὰ διάφορον καὶ κέρδος. Αὐτὰ λοιπὸν τὰ ἐπακόλουθα γροικῶντας, καὶ πληροφορούμενος καὶ βεβαιούμενος τὸ ἐπιχείρημα τοῦτο νὰ εἶναι μεταγενέστερον, δὲν μοῦ ἐφάνη καλὸν νὰ πολιτεύεται, μόνον τὰ ἔκπαλαι καὶ ἀρχῆθεν, καὶ διὰ τοῦτο σᾶς τὸ δηλοποιῶ διὰ τοῦ παρόντος. Καὶ οἱ χρόνοι σας πολλοί.

Ἐν Γιασίῳ. Κατὰ τὸ ᾳχμέ, αὐγούστῳ ι'.

(Ἐκ τοῦ 118 ἁγιοταφικοῦ χειρογράφου.)

6

Ἐπιστολὴ τοῦ νέου πατριάρχου Παρθενίου πρὸς τὸν Βασίλειον, αὐθέντην Μολδοβλαχίας.

1646 ἰανουαρίου 17.

Εὐσεβέστατε, ἐκλαμπρότατε, ἐνδοξότατε, καὶ χριστιανικώτατε αὐθέντα πάσης Μολδοβλαχίας, κύριε, κύριε, Ἰωάννη Βασίλειε βοεβόνδα, καὶ συναντιλήπτωρ τῆς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, τὴν ἐκλαμπρότητά σου προσκυνοῦμεν ἁπαξάπαντες καὶ παρακαλοῦμεν τὸν θεὸν νὰ τὴν χαρίζῃ ὑγείαν, εἰρήνην, εὐεξίαν, νίκην κατ' ἐχθρῶν ὁρατῶν τε καὶ ἀοράτων, καὶ νὰ τὴν στερεώνῃ εἰς τὸν ὑψηλότατόν της θρόνον, εἰς καύχημα καὶ ἔπαινον παντὸς τοῦ γένους τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Γράμμα ἔκλαμπρον μᾶς ἔδειξεν ὁ παναγιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κύριος, κύριος Παρθένιος, τῆς σῆς ἐκλαμπρότητος, ὁποῦ τὸν γράφει διὰ τὴν ὑπόθεσιν τῶν σιναϊτῶν, ὁποῦ ἔλαβον ἄδειαν ἀπὸ τὸν ἐξωσθέντα καὶ καθαιρεθέντα γέροντα Παρθένιον νὰ ἱερουργοῦν εἰς τὸ μετόχιον ὁποῦ ἔχουν εἰς

τὴν Αἴγυπτον· μὲ τὸ ὁποῖον ἐρωτᾷ ἡ ἐκλαμπρότης σου ἂν ἔγινε καλὰ καὶ εὔλογα, καὶ κατὰ νόμους, καὶ ἐδόθη ἡ ἄδεια ἐκείνη τοῖς σιναΐταις.

Διὰ τὸ ὁποῖον, παρόντων πάντων τῶν ἀρχιερέων ἡμῶν καὶ κληρικῶν, καὶ τῶν λοιπῶν, ἔμπροσθεν τῆς αὐτοῦ παναγιότητος, ἐξετάσαμεν καὶ ἐρευνήσαμεν τὴν ὑπόθεσιν αὐτὴν ἀκριβῶς καὶ μὲ σκέψιν πολλὴν, καὶ δὲν ηὕραμεν κανένα τρόπον δικαιοσύνης ὅτι νὰ ἔχουν οἱ σιναΐται τὴν ἐκκλησίαν ἐκείνην, διατὶ ἕνα μὲν ὅτι τὰ σκάνδαλα μεταξὺ τῶν σιναϊτῶν καὶ τοῦ μακαριωτάτου πατριάρχου Ἀλεξανδρείας, καὶ λογιωτάτου κυρίου Νικηφόρου δὲν θέλουν παύσῃ ποτὲ, ἄλλο δὲ ὅτι φθείρεται καὶ ἀφανίζεται τελείως ὁ θρόνος ἐκεῖνος τῆς Ἀλεξανδρείας, καὶ σὰν ἐκεῖνον καὶ τὸ μοναστῆρι κινδυνεύει· εἰς τοῦτο ἐκρίναμεν ὅτι ἔχει ὅλα τὰ δίκαια ὁ μακαριώτατος πατριάρχης Ἀλεξανδρείας, καὶ κατὰ κανόνας καὶ κατὰ πάντα ἄλλον λογαριασμὸν, καὶ οἱ σιναΐται ἔχουν ὅλον τὸ ἄδικον διατὶ ὁ σκοπός τους εἶναι διὰ αἰσχροκέρδειαν καὶ σκάνδαλον· καὶ, ἂν ἀφανισθῇ ὁ θρόνος ἐκεῖνος καὶ δὲν μείνῃ ἴχνος, δὲν τοὺς μέλει τίποτες. Τοῦτο ἐρευνήσαμεν λεπτομερῶς, ἐν φόβῳ θεοῦ καὶ καθαρᾷ συνειδήσει, ἐκλαμπρότατε αὐθέντα, ἀφιλοπροσώπῳ κρίσει, καὶ πληροφοροῦμεν τῇ ἐκλαμπρότητί σου ἅπασαν τὴν ἀλήθειαν καὶ τὸ δίκαιον, καὶ ἰδοὺ τὸ σαφηνιζόμενον τῇ σῇ ἐκλαμπρότητι, καὶ εἴ τι τὴν φωτίσῃ ὁ πανάγαθος θεὸς, ἂς κάμῃ, διατὶ τὰ δίκαια ὅλα κατὰ κανόνας τὰ ἔχει ὁ θρόνος ἐκεῖνος, καὶ ὄχι τὸ μοναστήριον. Κύριος δὲ ὁ θεὸς νὰ πολυετῇ καὶ νὰ μακροζωῇ τὴν ἐκλαμπρότητά σου εἰς γῆρας βαθὺ καὶ λιπαρόν. ἀμήν.

1646, ἰανουαρίου ιζ', ἰνδικτιῶνος ΙΓ'.

(Ἐκ τοῦ 118 ἀγιοταφικοῦ χειρογράφου.)

7

Νεκταρίου Ἱεροσολύμων γράμμα ἀποκαταστατικὸν ἡγουμένου εἰς τὸ μετόχιον Ῥαχοβίτζας ἐν Βλαχίᾳ.

1664 σεπτεμβρ.

Νεκτάριος ἐλέῳ θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης.

Διὰ τοῦ παρόντος γράμματος ἡ μετριότης ἡμῶν ἀποφαίνεται καὶ καθαρῶς καθίστησιν ἡγούμενον εἰς τὸ μοναστήριον τῆς Ῥαχοβίτζας, μετόχιον ὂν τοῦ ἁγίου Τάφου, τὸν ὁσιώτατον μοναχὸν κὺρ Μακάριον, ὃς καὶ ὀφείλει διοικεῖν καὶ κυβερνᾶν αὐτὸ οἰκοκυριακῶς, ὡς ἀδελφὸς τοῦ ἁγίου Τάφου, καὶ ἀνακαινίζειν καὶ καλλιεργεῖν αὐτὸ, φέρων αὐτὸ ἀείποτε εἰς αὔξησιν, διδοὺς τὸν κάθε χρόνον εἰς τὸν ἅγιον Τάφον ἀσλανία 25, ἤτοι εἰκοσιπέντε, καὶ οὐδὲν ἕτερον ἕως χρόνους τρεῖς, καὶ μετὰ τοὺς τρεῖς χρόνους, ἢ νὰ τὸν ἀλλάσσωμεν, ἢ νὰ τοῦ κάμωμεν ἕτερον γράμμα καὶ ἑτέραν ἀποκοπὴν, ἀρχίζωντας νὰ δίδῃ πρώτην ἀποκοπὴν τὰ εἰκοσιπέντε γρόσια τὸν ἐρχόμενον σεπτέμβριον ᾳχξέ, καὶ νὰ μὴν τὸν ὁρίζῃ ἄλλος τινὰς νὰ τοῦ γυρεύῃ ἄλλο περισσότερον, ἢ πολὺ ἢ ὀλίγον, πάρεξ μόνοι αὐτὰ τὰ 25 γρόσια, καὶ αὐτὰ νὰ τὰ δίδῃ κατ' ἔτος τοῦ εὑρισκομένου ἡγουμένου τοῦ ἁγίου Γεωργίου εἰς Βουκουρέστιον, καὶ νὰ λαμβάνῃ παρ' αὐτοῦ ἀπόδειξιν καθαρὰν μὲ ἰδιόχειρόν του · καὶ ταῦτα διὰ τὸ βέβαιον καὶ ἀσφαλές.

Ἐγράφη κατὰ τὸ ᾳχξδ', κατὰ μῆνα σεπτέμβριον, εἰς Βουκουρέστιον.

† ὁ τῆς ἁγιωτάτης πόλεως Ἱερουσαλὴμ πατριάρχης Νεκτάριος.

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου.)

8

Γράμμα σιγιλλιῶδες περὶ τοῦ ἐν Κασίνῳ Μολδοβλαχίας ἱεροῦ μοναστηρίου τῶν Ἀρχαγγέλων.

1677 Ἰουν.

Ἡ μετριότης ἡμῶν διαλαμβάνει διὰ τοῦ παρόντος αὐτῆς πατριαρχικοῦ γράμματος, ὅτι ὁ μακαρίτης Στέφανος βοεβόδας, ὁ μετὰ τὸν μακαρίτην Βασίλειον βοεβόδαν αὐθεντεύσας ἐνταῦθα, ἔκτισε τὸ ἐν τῷ Κασίνῳ μοναστήριον τῶν Ἀρχαγγέλων, καὶ ἔδωκεν εἰς αὐτὸ καὶ χωρία τινὰ ἀφιέρωμα · ἀλλ' ἐπειδὴ ὁ Στέφανος οὗτος ἐδίωξε τὸν Βασίλειον βοεβόδα, καὶ ἔλαβεν ἐκ τῶν ἰδίων αὐτοῦ πολλὰ, καὶ κτήματα καὶ πράγματα, ὁ υἱὸς τοῦ Βασιλείου βοεβόδα Στεφανίτζας βοεβόδας αὐθεντεύσας, μερικὰ χωρία, ἐξ ὧν εἶχεν ὁ Στέφανος βοεβόδας ἀφιερωμένα εἰς τὸ μοναστήριον εἰς τὸ Κάσινον, ἐπούλησε, καὶ μερικὰ ἐχάρισεν, ἐξ ὧν εἰσι καὶ τὸ Μπουτζουλέστι καὶ Ῥόζνοβον · καὶ τοῦτο τὸ ἔκαμεν τάχα διότι, ὡς εἴρηται, ὁ Στέφανος βοεβόδας ἐπῆρεν ἄσπρα τοῦ πατρός του, καὶ ἐπούλησε καὶ ἐχάρισε τὰ χωρία, διὰ νὰ πάρῃ, ὡς γνήσιος κληρονόμος τοῦ πατρὸς αὐτοῦ, τὸ δίκαιον. Θεωρηθέντος ὅμως μετὰ ταῦτα τοῦ πράγματος ἐν Κωνσταντινουπόλει νομίμως τε καὶ κανονικῶς, ἐκρίθη καὶ ἀπεφασίσθη ὅτι τὸ ἔργον τοῦτο τοῦ Στεφανίτζα βοεβόδα ἐστὶν, ἐπειδὴ ὁ Στέφανος βοεβόδας ἂν εἶχεν ἄσπρα παρμένα, εἶχε καὶ ἄλλα πράγματα ἐξ ὧν ἐδύνατο ὁ Στεφανίτζας βοεβόδας καὶ ἄλλοι αὐτοῦ χρεωφειλέται νὰ πάρωσι διὰ τὰ χρέη αὐτῶν · τὰ δὲ χωρία καθὰ ἀφιερωθέντα ἅπαξ τῷ θεῷ, εἰσὶν ἀναπόσπαστα · εἶτα καὶ ἄλλοι αὐθένται ἀφιέρωσαν μοναστήρια τῷ θεῷ οἰκοδομήσαντες αὐτὰ δι' οἰκείων χρημάτων, καὶ εἴχασι καὶ διάφορα χρέη, καὶ εἶτα ἢ ἀπέθανον, ἢ ἐξεβλήθησαν τῆς αὐθεντείας, ἀλλ' οὐδεὶς ἔλαβε τὰ ἀφιερώματα ὁποῦ ἔδωκαν εἰς τὰ μοναστήρια, διὰ τὸ χρέος τους.

Τούτου οὕτως ἔχοντος, ἐπειδὴ ἡμεῖς ἐλάβομεν τὸ Κάσινον παρὰ τοῦ αὐταδέλφου τοῦ μακαρίτου αὐταδέλφου καὶ αὐτοῦ, ἤτοι τοῦ ἄρχοντος λογοθέτου Βασιλάσκου, ἀδελφοῦ τοῦ Στεφάνου βοεβόδα, καὶ τῆς μακαρίτου δόμνας τούτου τοῦ Στεφάνου βοεβόδα Σάφτας διὰ νὰ εἶναι ἀφιέρωμα εἰς τὸν ἅγιον Τάφον, ἐλάβομεν καὶ συνοδικὸν γράμμα, ὅτι τὰ χωρία ὁποῦ ἐπώλησεν ἢ ἐχάρισεν ὁ υἱὸς τοῦ Βασιλείου βοεβόδα Στεφανίτζας βοεβόδας, τὰ ὁποῖα ἦσαν τοῦ μοναστηρίου Κάσινου, νὰ δοθοῦν ἀπαραιτήτως εἰς τὸ Κάσινον ὡς ἦσαν καὶ πρότερον. Καὶ ὅσοι τὰ ἠγόρασαν, νὰ ζητοῦν τὰ ἄσπρα τους ἀπ' ἐκεῖ ὁποῦ τὰ ἐπώλησαν καὶ τὰ ἠγόρασαν αὐτοί, ἢ νὰ τὰ ζημιώνωνται, ἐπειδὴ καὶ τὰ ἠγόρασαν παρανόμως· καὶ ὅσοι τὰ ἔλαβον χάριν, νὰ ὑστεροῦνται τῆς δωρεᾶς, ἐπειδὴ οὐδεὶς δύναται νὰ χαρίσῃ τινὶ τὸ ἀλλότριον. Οὕτως οὖν τὰ εἰρημένα δύο χωρία Μπουτζουλέστι καὶ Ῥόζνοβον τὰ ὁποῖα εἶχε χαρίσῃ ὁ διαληφθεὶς Στεφανίτζας βοεβόδας, τὸ μὲν Μπουτζουλέστι τῷ ἄρχοντι λογοθέτῃ μακαρίτῃ Ἠφθόδῃ, τὸ δὲ Ῥόζνοβον τῷ ἄρχοντι λογοθέτῃ κὺρ Νικολάῳ Ῥακοβίτζᾳ, υἱῷ τοῦ διαληφθέντος ἄρχοντος Ἠφθοδίου Ῥακοβίτζα, τὰ ἐλάβομεν, ὡς ἐλάβομεν καὶ ἄλλα παρὰ ἄλλων, ὁποῦ τὰ εἴχασι καὶ ἐκεῖνοι ἠγορασμένα, καὶ κατὰ δωρεὰν εἰλημμένα παρὰ τοῦ εἰρημένου Στεφανίτζα βοεβόδα. Ἀλλ' ἐπειδὴ τὸ μοναστήριον τοῦτο ἦτον σχεδὸν ἔρημον ἀπὸ κάθε τίποτε, καὶ μάλιστα ἀπὸ ζῶα, ἐπαρεκαλέσαμεν τὸν διαληφθέντα τιμιώτατον ἄρχοντα λογοθέτην κύριον Νικόλαον Ῥακοβίτζαν, καὶ ἔδωκεν εἰς τὸ μοναστῆρι τοῦτο διακόσια πρόβατα, τριάντα ἀγελάδια, καὶ εἴκοσι βώδια, ὅλα καλὰ καὶ γερὰ καὶ διαλεγμένα, καὶ ἀντὶ τούτων ἐδώσαμεν αὐτῷ τὸ χωρίον Ῥόζνοβον μὲ τοὺς Ῥουμούνους του ὅλους, καὶ μὲ ὅλην του τὴν μωσίαν, ὥστε νὰ εἶναι ἐδικόν του καὶ τῶν τέκνων καὶ κληρονόμων αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα, παρ' οὐδενὸς πώποτε ἐνοχληθησόμενος, ἢ αὐθεντὸς, ἢ ἀρχόντων, ἢ καὶ ἀπὸ τῶν πατέρων τῶν κατὰ καιροὺς εὑρισκομένων ἐν τῷ διαληφθέντι μοναστηρίῳ, ἐν βάρει ἀλύτου ἀφορισμοῦ καὶ ἀναθέματος αἰωνίου. Ἐπὶ γὰρ ἀσφαλείᾳ τῆς εὐγενείας αὐτοῦ καὶ τῶν κληρονόμων αὐτοῦ, ἐδώσαμεν τὸ παρὸν ἡμέ-

τερον γράμμα ἡγεμονεύοντος τοῦ εὐσεβεστάτου αὐθεντὸς Ἰωάννου Ἀντωνίου Ῥουσέτου, βοεβόδα πάσης Μολδοβλαχίας.

Ἐν ἔτει ϛχοζ', ἐν μηνὶ ἰουνίῳ.

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου.)

9

Γράμμα σιγιλλιῶδες πατριαρχικὸν καὶ συνοδικὸν περὶ τοῦ νέου μοναστηρίου τῆς Κοιμήσεως ἀνεγερθέντος ἐν Κοτρατζᾶνι ὑπὸ τοῦ ἡγεμόνος Οὐγκροβλαχίας Σερβάνου Καντακουζηνοῦ, τῶν δωρηθέντων αὐτῷ ὑπὸ τοῦ ἡγεμόνος δικαιωμάτων καὶ τῆς ἐλευθερίας αὐτοῦ ἀπὸ αὐθεντικῶν βάρεων, συδοσιῶν, δανείων, χαρισμάτων, καὶ λοιπῶν.

1681 φεβρουαρ.

Ἰάκωβος, ἐλέῳ θεοῦ κ. τ. λ.

Τῶν ἄνωθεν ὄντως δεδεγμένων παρὰ πατρὸς τῶν φώτων δώρημα τέλειον, φωτοειδῆ τὰ κατορθώματα πάντα καὶ πλήρη καταυγάζει χαρίτων, τῆς σφῶν πολιτείας κατάλληλα, δι' ὧν ἀτεχνῶς κατ' ἐντολὴν κυριόλεκτον, αὐτὸς ὁ ἐν οὐρανοῖς πατὴρ οἶδε δοξάζεσθαι, καὶ τοὺς δοξάζοντας αὐτὸν ἀντιδοξάζειν οὐκ ἔλαττον. Ζῶ γὰρ ἐγώ, λέγει κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω. Φωτὸς υἱοὶ γὰρ ἀψευδῶς γεγονότες, φωτοβολοῦσιν ἔργα τῆς ἄνω φρυκτωρίας ἐχόμενα καθ' ὅσον οὐ τιθέασι λύχνον ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπ' αὐτὸν ἐκείνην ὑψοῦντες τὴν τηλαυγῆ λυχνίαν τῆς ψυχικῆς αὐτῶν κατ' ἀρετὴν τελειότητος, ἀκτινοβολοῦσι τὰ πέρατα, καταφανῆ ποιοῦντες τὰ ἔργα τοῦ φωτὸς καὶ πασίδηλα · πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι, κατὰ τὸ γεγραμμένον. Πολλῶν μὲν οὖν γε καὶ πολυτρόπων ὄντων τῶν παρὰ φιλαρέτοις ἔργων, ἐν οἷς εὐαρεστεῖται θεὸς καὶ δοξάζεται, τὸ διεγείρειν θείους ναοὺς καὶ ἱερὰ καταγώγια, τοὺς ἀγαπητὰ τὰ σκηνώματα γινώσκοντας κυρίου τῶν δυνάμεων ὀρθοδόξους, εἰς μεγαλώνυμον δόξαν τῆς μεγαλωσύνης αὐτοῦ, διαφερόντως τῶν πολλῶν διαφέρειν, ὁμολογούμενον ὑπάρχει καὶ ἀναμφίλεκτον. Ἔνθέν

τοι καὶ τανῦν ὁ τοῖς αὐτοῖς ἐνθέοις χαρακτηρίσμασιν, οἷα φωτὸς υἱὸς, τηλαυγῶς ἐξαστράπτων ἐλέῳ θεοῦ ἐκλαμπρότατος, φημὶ, καὶ εὐσεβέστατος αὐθέντης κύριος, κύριος Ἰωάννης Σερβᾶνος Καντακουζηνὸς, βοεβόνδας πάσης Οὐγκροβλαχίας, καὶ κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς τῆς ἡμῶν μετριότητος, τοῖς ψυχικοῖς τε καὶ σωματικοῖς αὐτοῦ προτερήμασιν ὡς ἐν εἰκόνι διαγράφων, ἄξια φρονεῖν τῆς ἐπουρανίου κλήσεως, πρὸς πολλοῖς ἄλλοις, τῆς θεοστεφοῦς αὐτοῦ ψυχικοῖς ὑπερτερήμασι, καὶ τῶν ἀγαθουργιῶν ἀποτελέσμασιν, ᾑρετίσατο καὶ σεβάσμιον νεουργῆσαι σκήνωμα θεοῦ · δι' οὗ τὴν ἀξιοπιστίαν τῆς πρὸς θεὸν ἀγάπης αὐτοῦ διάδηλον ἐργαζόμενος οὐκ ἐπιβραδύνειν ἔγνω κατάρξασθαι, μηδ' ἐπιθέσθαι σχολαίως, ἀλλὰ δεύτερα πάντων ποιησάμενος τὰ ἀνθρώπινα, πρώτιστον ἔργον τὸ τοῦ θεοῦ διετάξατο, καὶ πρώτης ἐξ αὐτῆς τῆς βαλβίδος τῆς ἄνωθεν αὐτῷ δωρηθείσης ἀρχῆς καὶ προπατορικῆς αὐθεντείας, ὡς προγονικῆς εὐσεβείας ἄριστος ζηλωτὴς, θεοσεβείᾳ τε προσανέχων, καὶ ὅλην πνέων εὐσέβειαν, ἄμφω τε φημὶ τὴν πίστιν τῷ βίῳ, καὶ τὸν βίον συνομόλογον τῇ πίστει δεικνύων, δίκην ἀπαρχῆς τῶν παρ' αὐτῷ καλῶν, τῷ δοτῆρι τῶν ὅλων ἀγαθῶν προσηγάγετο, κατὰ τὸ, ἐνέγκατε τῷ κυρίῳ υἱοὶ θεοῦ δόξαν καὶ τιμὴν, καὶ ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ · καὶ δὴ χειραγωγίᾳ θεοῦ, καὶ συναντιλήψει τῆς θεομήτορος, περίπυστον ναὸν καὶ εὐαγὲς μοναστήριον ἀνήγειρεν ἐκ βάθρων, κατὰ τὴν τοποθεσίαν Κοτρατζᾶνι κικλησκομένην, ἐπ' εὐφημίᾳ τῆς ἐνδόξου Κοιμήσεως αὐτῆς τῆς ὑπὲρ λόγον τὸν Λόγον ἀφράστως κυησάσης, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὅπερ ὡραΐσμασιν ἐξαισίοις, φιλοκαλίας τε καὶ μεγαλουργίας ἐπιτηδεύμασιν ἐπεκόσμησεν, ἀφιερώσας αὐτῷ καὶ αὐτάρκη τὰ πρὸς ἐπισύστασιν αὐτοῦ, καὶ κυβέρνησιν τῶν ἐν αὐτῷ μοναζόντων φιλαρέτων ἀνδρῶν ἀναγκαῖα, δαψιλεστάτῃ χειρὶ τῆς ἑαυτοῦ φιλοφρόνου μεγαλονοίας ἐπάξια · καθάπερ καὶ οἱ πρὸ αὐτοῦ εὐσεβέστατοι αὐθένται, τῆς αὐτῆς φημι τζάρας, κατὰ καιροὺς προνοηθέντες τοῖς ὑπ' αὐτῶν δομηθεῖσι μοναστηρίοις, πλουτοδότως ἐφιλοτιμήσαντο, μετὰ πάσης τε τῶν νομικῶν ἀκριβασμάτων συντηρήσεως, ἀπαρτισάμενος ἅπαντα, κοινῇ συνδια-

σκέψει, συναινέσει τε καὶ βουλῇ τοῦ τε κατὰ τόπον ἀρχιερατεύοντος, ἱερωτάτου μητροπολίτου Οὐγκροβλαχίας κὺρ Θεοδοσίου, καὶ τῶν ὑπ' αὐτὸν θεοφιλεστάτων ἐπισκόπων, καὶ πάσης τῆς συγκλήτου τῶν ἐπιφανῶν ἀρχόντων τῆς αὐτῆς αὐθεντείας κατὰ κανόνας καὶ νόμους, καὶ τὴν ἐπικρατοῦσαν κατὰ τόπον συνήθειαν, καὶ τοῦτο γὰρ ἀρίστης οἰκονομίας ἐστί, τὸ τοῖς κειμένοις δηλαδὴ κατακολουθεῖν ὅροις · τέως δι' οἰκείου σεπτοῦ χρυσοβούλλου λόγου, κατησφαλίσατο πάντα κατηριθμημένα λεπτομερῶς, ὅσα ἐν αὐτῷ δαψιλεύσας ἀνέθετο, εἰς μνημόσυνον ἑαυτοῦ τε, καὶ τῶν πρὸ αὐτοῦ, καὶ μετ' αὐτὸν αὐθέντων τῆς αὐτῆς αὐθεντείας, καὶ πάντων τῶν ὀρθοδόξων χριστιανῶν. Ὧν πρῶτον μέν ἐστιν ὅπως, ἀπὸ ὅλου τοῦ βάματος τοῦ ὁρασίου Φλοτζίου, καὶ τῶν ὅλων εἰσοδημάτων, ὧν ἔχει τὸ Φλότζιον εἰς τὰ βάματα, καὶ εἰς τὴν παροικίαν αὐτοῦ, λαμβάνῃ τὸ ἱερὸν αὐτὸ μοναστήριον τὸ τρίτον μπάνιον σῶον καὶ ἀνελλιπὲς, ὥστε ἀπὸ τῶν τριῶν ὀψαρίων τὸ ἓν ὀψάριον, καὶ ἀπὸ τῶν κρίσεων τὸ τρίτον μέρος τοῦ κέρδους, καὶ ἀπὸ τῶν λοιπῶν προσόδων καὶ εἰσοδημάτων, καθ' ἣν ἔχουσι τὰ βάματα συνήθειαν ἀπολαμβάνειν καὶ κερδίζειν, τὸ τρίτον ἐξ ὁλοκλήρου ὑπάρχειν τοῦ μοναστηρίου · διατελῇ δὲ τὸ αὐτὸ μοναστήριον πάντη ἐλεύθερον, καὶ ἀσύδοτον ἁπαξαπάντων ἁπλῶς τῶν αὐθεντικῶν βάρεων, καὶ συδοσιῶν, δανείων, χαρισμάτων, δωρεῶν, καὶ ἄλλων παντοδαπῶν ἐξόδων · οἱ δὲ βαμεσίδες ὑπάρχωσιν ἀμέτοχοι τῶν ἀνηκόντων τῷ μοναστηρίῳ παντάπασιν, καὶ μὴ ἔχωσιν ἄδειαν παρ' αὐτοῦ ζητεῖν, ἐξ ὧν εἰώθασι παρέχειν αὐτοὶ τῇ αὐθεντείᾳ συδοσιμάτων, μήτε λαμβάνειν αὐτοὺς ὅλως ἀπὸ τοῦ τρίτου βάματος, καὶ λοιποῦ τρίτου εἰσοδήματος τοῦ εἰρημένου βάματος, ἐπειδὴ ἐξ ὁλοκλήρου ἀφωσιώθη, καὶ προσνενέμηται τῷ μοναστηρίῳ, διά τε τὴν πρὸς αὐτὸ νόμιμον φιλοτιμίαν τοῦ ἐκλαμπροτάτου αὐθέντου, καὶ ὅτι αἱ παρὰ τοῦ τρίτου μέρους τοῦ βάματος ἀνήκουσαι τῇ αὐθεντείᾳ δόσεις, ἀφῃρέθησαν τῆς βεστιαρίας παρὰ τῆς αὐτοῦ ἐκλαμπρότητος. Δεύτερον ἀφιερώσατο ἐν τῷ αὐτῷ μοναστηρίῳ ἡ αὐτοῦ ἐκλαμπρότης καὶ βοιναρίτζιον αὐθεντικὸν, ἀπὸ τοῦ Ντάλου-Τζιγανέστι καὶ Ντάλου-Βιτζικέστι, τῶν κειμένων κατὰ τὴν

τοποθεσίαν τοῦ Πιτεστίου, ὥστε λαμβάνειν τὸ μοναστήριον ἀπὸ τῶν δύο τούτων Ντάλων τὸ αὐθεντικὸν βοιναρίτζιον, ἐκ τῶν δέκα μέτρων τοῦ οἴνου, ἓν μέτρον · προσέτι λαμβάνειν καὶ τὸ ποκλόνιον, καὶ τὸ λεγόμενον πέρπερον ἀπὸ παντὸς τοῦ παρέχοντος βοιναρίτζιον ἕως τοῦ νῦν, ὡς εἶχον συνήθειαν · οἱ δὲ συνάγοντες τὸ αὐθεντικὸν βοιναρίτζιον ἐκ τῆς λοιπῆς τοποθεσίας τοῦ Πιτεστίου μὴ ἔχωσιν ἄδειαν λαμβάνειν ἐκ τοῦ μοναστηρίου ὅλως οὐδὲν, οὔτε διὰ τὸ βοιναρίτζιον τῶν εἰρημένων δύο Ντάλων, οὔτε διὰ τὸ ποκλόνιον καὶ πέρπερον. Πρὸς δὲ τούτοις ἐδωρήσατο αὐτῷ ἅλατος μπολοβάνια τετρακόσια ἀπὸ τῆς Ὄκνας-Ντελέγας, ἅπερ ἔχει ἄδειαν τὸ μοναστήριον παραλαμβάνειν ἐκ τῆς αὐτῆς Ὄκνας, κατὰ τὴν νηστείαν τῶν ἁγίων Ἀποστόλων, σῶα καὶ ἀκαινοτόμητα, καὶ ἀποκομίζειν, καὶ πωλεῖν, ἢ εἰς Βουκουρέστιον, ἢ ἄλλοθι, διαπεραιούμενον ἐκεῖνα, ἐξ ὁποίου βάματος, καὶ οἱασοῦν βούληται σκάλας, ἐλευθέρως χωρίς τινος δόσεως καὶ ἀπαιτήσεως, οὔτε δωρεᾶς, οὔτε ἐξόδων τροχοῦ, καὶ λοιπῶν ἄλλων, μηδενὸς ἐπιχειροῦντος τῶν βαμεσίδων, οὔτε τῶν μεγάλων, οὔτε τῶν μικρῶν, οὔτε τῶν ἔνδον, οὔτε τῶν ἔξω, περὶ ἀπαιτήσεως διενοχλεῖν αὐτῷ τὸ σύνολον. Τρίτον, προσεδωρήσατο αὐτῷ τὴν μπάλταν τὴν κειμένην παρὰ τῷ χωρίῳ Πέτραις καλουμένῳ ἅπασαν, ὅση ἦν αὐθεντικὴ, ἵνα λαμβάνῃ τὸ μοναστήριον τοῦ λοιποῦ πᾶσαν τὴν ὁπωσοῦν δεκατίαν ἐξ αὐτῆς ὁλόκληρον, ὡς δήπου ἐλάμβανον αὐτὴν οἱ ἐν τῇ Γραίκᾳ αὐθεντικοὶ στόλνικοι, οὐ μὴν ἀλλὰ καὶ ἀγρεύῃ τὴν εἰρημένην μπάλταν μόνος ὁ ἐπίτροπος τοῦ ἡγουμένου τοῦ αὐτοῦ μοναστηρίου · οἱ δὲ στόλνικοι τῆς Γραίκας, ἢ ἄλλοι τινὲς ὁποιοιδήποτε, μὴ ἔχωσιν εἰς αὐτὴν οὐδεμίαν ἐξουσίαν ἀπὸ δεκατισμοῦ, ἢ ἄγρας, ἢ ἄλλης τινὸς πράξεως ὁλοτελῶς · τὸ γὰρ ἀνῆκον τῇ αὐθεντείᾳ παρὰ τῶν στολνίκων, ταύτης ἕνεκεν τῆς μπάλτας, ἀφείλετο ἡ ἐκλαμπρότης αὐτοῦ ἀπὸ τῆς βεστιαρίας ὅπως κατ' οὐδὲν ἔχωσι τοῦ λοιποῦ οἱ τοιοῦτοι στόλνικοι μετέχειν τῆς λίμνης αὐτῆς. Ἔτι ἐδωρήσατο ἡ ἐκλαμπρότης αὐτοῦ τῷ αὐτῷ μοναστηρίῳ ὅλον τὸ δέκατον τοῦ οἴνου τοῦ εἰρημένου χωρίου τῶν Πετρῶν, καὶ ὅσων ἦν αὐθεν-

τικὸν, ὅπερ ἐλάμβανον οἱ βοιναριτζᾶροι τοῦ Βουκουρεστίου, ἐπὶ τῷ ἄρτι λαμβάνειν αὐτὸ τὸ μοναστήριον, ἀπὸ τῶν δέκα μέτρων, δηλονότι μέτρον ἓν καὶ τὸ πέρπερον κατὰ τὴν συνήθειαν · οἱ δὲ αὐθεντικοὶ βοιναριτζᾶροι ἐκεῖθεν τὸ καθόλου ἀπέχωνται. Ἀλλὰ καὶ τὸ χωρίον αὐτὸ τῆς Πέτρας, κείμενον εἰς τὸ Ζουτέτζου-Βλάσκα, μετὰ πάντων αὐτοῦ τῶν Ῥουμούνων, ὡς ἀΐδιον αὐτοῦ κτῆμα, ἀφιερώσατο ὁ αὐτὸς ἐκλαμπρότατος αὐθέντης τῷ αὐτῷ μοναστηρίῳ, φιλοτιμησάμενος αὐτῷ τὴν ἐλευθερίαν ταύτην τοῦ εἶναι ἀσύδοτον καὶ ἀκαταπάτητον καὶ ἀδούλωτον, παρὰ παντὸς προσώπου αὐθεντικοῦ τε καὶ ἀρχοντικοῦ, ἔν τε τῷ καθ' ἕκαστον μῆνα παρεχομένῳ χαρατζίῳ, καὶ τοῖς ἄλλοις φορολογήμασι καὶ δικαιώμασι, τῶν ἀσλανίων, τῆς σάμας, τῆς γαλιάτας, τοῦ χόρτου, τοῦ κηρίου, τοῦ μέλιτος, τοῦ μελισσονομίου, τοῦ χοιρονομίου, τοῦ προβατονομίου, καὶ παντὸς ἀποδεκατισμοῦ αὐθεντικοῦ ἀκαταζήτητον, δανείσματός τε καὶ φλωρίων, καὶ τῶν βαμεσίδων τῆς γραίκας, τοῦ μὴ λαμβάνειν βάμα τῶν ὀψαρίων τελείως, τῆς τε λίμνης, ἥτις ἐστὶ τοσαύτη κατὰ τὸ μέγεθος, ὅσα τυγχάνουσι καὶ περιέχουσι κατὰ τὸ μέρος τοῦ Δουνάβεως διὰ σύνορα τοῦ εἰρημένου χωρίου Πέτραις καὶ τῆς εἰρημένης μπάλτας, ἥτις ἦν μὲν αὐθεντική, ἐδωρήθη δὲ τῷ μοναστηρίῳ · τῆς τε ντίσμας τοῦ καπνοῦ, τῶν μπανίων τῆς ἄκρης, τῶν ταχυδρομικῶν ἵππων, τῶν ποδοβόδων, τῶν μερτικίων, καὶ πάσης δουλείας αὐθεντικῆς, σανιδίων, ξύλων, προβάτων κουφίων, σοῦλτζι, ζαχιρὲ, σαταράδων, σουρσατίων, ναυλόνων, ἁμαξίων σεφερίου, ἵππων βασιλικῶν καὶ αὐθεντικῶν, χαρατζίου τῆς τουτουναρίας καὶ παντὸς ἄλλου συδοσίματος, καὶ δουλείας τῶν ὑπαρχόντων εἰς τὴν τζάραν, καὶ αὐθεντείαν Οὐγκροβλαχίας, πάντη καὶ παντοίως ἐλεύθερον, καὶ ἀπηλλαγμένον ὡς διείληπται. Ἀλλὰ καὶ ἐάν τινες ἐπιδημήσαντες ξένοι τῶν πέρα Δανούβεως, ἢ καὶ ἀλλαχόθεν, Σέρβοι, Ῥωμαῖοι, Βούλγαροι, Ἄλβανες, ἢ Μολδοβᾶνοι, ἢ Οὔγκροι παροικήσωσιν ἐν τῷ εἰρημένῳ χωρίῳ Πέτραις, κἀκείνους διωρίσατο εἶναι ἐλευθέρους, καὶ ἀσυδότους πάσης δουλείας, καὶ ἀγγαριῶν τῶν ἀνοτέρω εἰρημένων κατ' εἶδος · Βλάχους μέν τοι ἀρχοντικοὺς, ἢ αὐθεντικοὺς ἢ ἄλλους τινὰς, ὑποκει-

πατρίδι αὐτοῦ ταύτῃ ἐξειργάσατο, ἤδη δὲ, ὡς εἴρηται, εἰς δυστυχίαν καὶ ἀπορίαν κατήντησεν ἡ οἰκία αὐτοῦ καὶ ἡ διαληφθεῖσα σύζυγος μετὰ τῶν ὀρφανῶν αὐτοῦ τέκνων ἐνδείᾳ κατατρύχονται, οὔκτῳ καμφθεὶς ἐπὶ τούτοις, καὶ συναλγήσας αὐτοῖς ὁ νῦν ἐκλαμπρότατος καὶ ὑψηλότατος αὐθέντης ἀξιόλογος τῆς αὐτῆς ταύτης αὐθεντείας Οὐγκροβλαχίας, καὶ εὐσπλαγχνικῶς διατεθεὶς, ὑπό τε τῆς ἐμφύτου αὐτοῦ καλοκαγαθίας κινούμενος, οἷα φιλευσεβὴς καὶ φιλόχριστος καὶ εὐεργετικὸς, ὁ καὶ κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς καὶ περιπόθητος τῆς ἡμῶν μετριότητος, δεῖν ἔγνω ἀντιλαβέσθαι αὐτῶν, χεῖρά τε βοηθείας ὀρέξαι τούτοις καταπονουμένοις καὶ χρείαν ἔχουσι, χριστιανικὴν καὶ ἀποστολικὴν ἐκπληρῶν ἐντολὴν, προσλαμβάνεσθαι καὶ γὰρ δέον ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς ἡμᾶς προσελάβετο · καὶ οὐ μόνον τὸ οἰκεῖον συμφέρον, ἀλλὰ καὶ τὸ τοῦ πλησίον ἐπιζητεῖν. Καὶ δὴ ἀσυδοσίαν αὐτοῖς ἐπεδαψιλεύσατο, ὥστε εἶναι τὴν οἰκίαν αὐτῶν μετὰ τῶν περιλειφθέντων αὐτοῖς ὑποστατικῶν καὶ κτημάτων ἀσύδοτον καὶ ἐλευθέραν διὰ παντὸς τῶν κατὰ καιροὺς τοπικῶν συδοσιμάτων, ἀνενόχλητόν τε καὶ ἀνεπηρέαστον καὶ ἀκαταζήτητον εἰς τὸ παντελὲς, ἐπιβεβαιώσας τὴν ἔνδοξον αὐτοῦ φιλοτιμίαν ταύτην καὶ εὐεργεσίαν καὶ διὰ χρυσοβούλλου αὐθεντικοῦ τῆς αὐτοῦ ὑψηλότητος · κἀντεῦθεν ἠξίωσαν μετὰ θερμῶν παρακλήσεων τήν τε ἡμῶν μετριότητα καὶ τὴν ἱερὰν σύνοδον, καὶ ἐδεήθησαν ἐπιτυχεῖν καὶ δι' ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ σιγιλλιώδους ἐπιβεβαιωτηρίου ἐπὶ τούτῳ γράμματος, εἰς πληρεστέραν ἀσφάλειαν.

Τούτου χάριν τὴν δέησιν αὐτῶν φιλανθρώπως ἀποδεξάμενοι, καὶ τῷ ἔθει τῆς ἐκκλησίας χρώμενοι, γράφομεν καὶ ἀποφαινόμεθα γνώμῃ κοινῇ συνοδικῇ τοῦ τε μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου κυροῦ Χρυσάνθου, καὶ τῶν ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν καὶ περιποθήτων ἀδελφῶν καὶ συλλειτουργῶν τῆς ἡμῶν μετριότητος, ἵνα τὸ ἐκδοθὲν καὶ φιλοτιμηθὲν τῇ οἰκίᾳ τοῦ μακαρίτου Σερβάνου ἄρχοντος, μεγάλου σπαθάρη, ὑπὸ τοῦ ἐκλαμπροτάτου, ὑψηλοτάτου, καὶ εὐσεβεστάτου αὐθέντου καὶ ἡγεμόνος μεγαλοπρεπεστάτου κυρίου

κυρίου Ἰωάννου βοεβόδα πάσης Οὐγκροβλαχίας περὶ τοῦ εἶναι αὐτὴν ἀσύδοτον καὶ ἐλευθέραν κατὰ πάντα καιρὸν πάσης καὶ παντοίας ἀπαιτήσεως, καὶ ἀκαταζήτητον παντελῶς καὶ ἀνενόχλητον, ἔχῃ τὸ κῦρος καὶ τὴν ἰσχὺν διὰ παντὸς ἀπαράτρεπτον καὶ ἀδιάσειστον καὶ ἀμετάθετον, καὶ ἀμετακίνητον καὶ κατ' αὐτὸ τὸ ἔνδοξον χρυσόβουλλον τῆς αὐτοῦ ὑψηλότητος, ἥ τε σύζυγος ἐκείνου τοῦ μακαρίτου Σερβάνου σπαθάρη καὶ τὰ ὀρφανὰ τέκνα ὑπάρχωσι καὶ διατελῶσι πάντοτε μετὰ τῶν περιλειφθέντων αὐτοῖς ὑποστατικῶν καὶ κτημάτων ἀσύδοτα καὶ ἐλεύθερα, καὶ ἀκαταζήτητα, καὶ ἀνενόχλητα, μηδὲν ὅλως ἀπαιτούμενα, ὀψέποτε δ' ἄν τις θελήσῃ ἀνατρέψαι τὸ τοιοῦτον ἔλεος καὶ τὴν ὑπὸ χριστιανικῆς διαθέσεως τοῦ εἰρημένου ὑψηλοτάτου καὶ εὐσεβεστάτου αὐθέντου γενομένην αὐτοῖς φιλοτιμίαν καὶ εὐεργεσίαν, καὶ ἐνοχλῆσαι τῇ συζύγῳ ἐκείνου τοῦ μακαρίτου σπαθάρη, καὶ τοῖς τέκνοις, καὶ ὑποτελεῖς αὖθις ποιῆσαι αὐτούς, καὶ τὸ οἱονοῦν δόσιμον αὐτοὺς ἀπαιτῆσαι, ὁ τοιοῦτος ὁποίας ἂν εἴη τάξεως, αὐθεντικῆς ἢ ἀρχοντικῆς, μικρὸς ἢ μέγας, ὡς ἀνελεήμων καὶ ἄσπλαγχνος καὶ τῆς εὐποιΐας ἀναιρέτης, ᾗ τινι ὁ φύσει ὑπεράγαθος καὶ πολυέλεος εὐαρεστεῖται θεός, τῆς εὐποιΐας γὰρ καὶ κοινωνίας τὸ ἱερὸν καὶ ἀποστολικὸν λόγιον διατάττεται λέγον μὴ ἐπιλανθάνεσθαι · τοιαύταις γὰρ θυσίαις ὁ θεὸς εὐαρεστεῖται · ὁ τοιοῦτος, φημί, ἀφωρισμένος εἴη ἀπὸ θεοῦ κυρίου παντοκράτορος, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον, καὶ προκοπὴν οὐ μὴ ἴδοι πώποτε ἐφ' οἷς ἐργάζεται, καὶ ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος.

Ὅθεν εἰς ἔνδειξιν διηνεκῆ τε καὶ παντοτεινὴν ἀσφάλειαν καὶ μονιμότητα ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐπιβεβαιωτήριον γράμμα, καὶ ἐπεδόθη τῇ συζύγῳ καὶ τοῖς τέκνοις τοῦ μακαρίτου Σερβάνου.

ϛψιη', μηνὶ ὀκτωβρίῳ, ἰνδικτιῶνος ιβ'.

† Ἱερεμίας ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου.)

130

Μαρίας δόμνας ἐπιστολὴ πρὸς Χρύσανθον, πατριάρχην Ἱεροσολύμων.

1719 μαρτίου 13.

Ἱερὸν γράμμα τῆς ὑμετέρας μακριότητος προσκυνητῶς ἔλαβον, καὶ διὰ τὴν ἀγαθήν της ὑγείαν ὑπερεχάρην · ἔγνων καὶ τὰ ἐφεξῆς γεγραμμένα, διὰ τὸν προβιβασμὸν δηλονότι τοῦ ὑψηλοτάτου αὐθέντου Νικολάου βοεβόνδα εἰς τὸν ἔκλαμπρον θρόνον τῆς Οὐγκροβλαχίας · εἰς τὸν ὁποῖον ἐχάρημεν κατὰ πολλὰ, καὶ ἀνεπέμψαμεν τῷ θεῷ ᾠδὰς εὐχαριστηρίους, ὁποῦ ἠλέησεν ἡμᾶς τε καὶ ὅλον τὸν δυστυχῆ τοῦτον τόπον, καὶ δὲν ἄφησε νὰ προχωρήσῃ κἀνένα ξένον πρόσωπον, ἀλλὰ ἡ ὑψηλότης του, ὅστις ὤντας ὡς υἱός μας ἀγαπητὸς καὶ περιπόθητος, εἶμαι βεβαία ὅτι εἰς τὰς εὐτυχεῖς ἡμέρας τῆς ὑψηλότητός του, οὐχὶ μόνον ἡμεῖς θέλομεν περάσει καλῶς καὶ ἡσύχως, ἀλλὰ καὶ ὅλη ἡ τζάρα θέλει λάβει μεγάλην ἄνεσιν · διὰ τὸν ὁποῖον παρακαλοῦμεν τὸν ἅγιον θεὸν νὰ τὸν στερεώνῃ εἰς τὸν ὑψηλότατον αὐτοῦ θρόνον, μὲ ἄκραν ὑγείαν, εὐημερίαν διηνεκῆ καὶ εἰρηνικὴν κατάστασιν, εἰς ἔτη πάμπολλα καὶ πανευδαίμονα, καὶ νὰ μᾶς ἀξιώσῃ νὰ τὸν προσκυνήσωμεν κατὰ τὸν πόθον καὶ τὴν ἐπιθυμίαν μας.

Θέλει ἠξεύρῃ ὅμως ἡ ὑμετέρα μακαριότης ὅτι ὁ τόπος εὑρίσκεται εἰς μεγάλην στενοχωρίαν, καὶ παρακαλοῦμεν νὰ συντύχῃ τοῦ ὑψηλοτάτου αὐθέντου περί τε τούτου, ὁποῦ, ἴσως μὲ τὴν μεγαλόνοιαν τῆς ὑψηλότητός του, ἤθελε κάμῃ κἀμίαν κυβέρνησιν ὁποῦ νὰ προξενηθῇ κάποια ἄνεσις, ἐξόχως καὶ δι' ὅλον μας τὸ ὁσπίτι, εἰς τὸ ὁποῖον ἀγκαλὰ καὶ νὰ εἶμαι βεβαία, καθὼς προεῖπον, πῶς θέλει φέρεσθαι μὲ μεγάλην εὔνοιαν καὶ θερμὴν ἀγάπην, καθὼς καὶ ὑπόσχεται, καὶ ἐμπράκτως τὸ ἔδειξεν εἰς τὸν καιρὸν τῆς δυστυχίας μας, ὅμως παρακαλοῦμεν καὶ τὴν μακαριότητά της νὰ μὴ λείψῃ ἀπὸ τοῦ νὰ εἰπῇ τὰ ὅσα ἤθελαν τῆς φανῇ εὔλογον · τὴν ὁποίαν,

ὡσὰν πνευματικός της υἱὸς, δὲν ἀμφιβάλλω πῶς θέλει τὴν ὑπακούσῃ εἰς ὅσα ἤθελεν εἰπῇ.

Ταῦτα. Παρακαλοῦμεν δὲ αὖθις νὰ ἔχωμεν ἱερὸν αὐτῆς γράμμα δηλωτικὸν τῆς ἀγαθῆς της ὑγείας, ἧς τὰ ἔτη εἴησαν θεόθεν πάμπολλα καὶ πανευδαίμονα, καὶ αἱ θεοπειθεῖς αὐτῆς εὐχαὶ μεθ' ἡμῶν.

ᾳψιθ', μαρτίου ιγ'.

Τῆς ὑμετέρας μακαριότητος

θυγάτηρ ἐν Χριστῷ καὶ εἰς τοὺς ὁρισμοὺς,

Μαρία δόμνα.

131

Ἀντιόχου Κωνσταντίνου ἐπιστολὴ πρὸς Χρύσανθον, πατριάρχην Ἱεροσολύμων.

1719 ἰουλίου 9.

Εὐλαβῶς κατασπαζόμεθα τὴν σεβάσμιον αὐτῆς δεξιάν.

Τὸ σεβάσμιον γράμμα τῆς σῆς ἐλάβομεν μακαριότητος, καὶ ὑπερήσθην διὰ τὴν ποθητὴν αὐτῆς καὶ ἡμῖν ὑγείαν, ἣν ὁ κύριος χαρίσοι εἰς χρόνων πολλῶν περιόδους. Διὰ τὴν ἄργητα πρὸς τοῦ γράμματός μας ἀπόκρισιν, ὡς καθὼς μᾶς γράφει τὰ αἴτια, γνωρίζομεν ἀναμφιβόλως πῶς οὕτως ἔχει, καὶ εἰς αὐτὸ δὲν ἔχομεν παντελῶς βαρυκαρδίαν, ὅτι καλῶς γινώσκομεν πῶς μᾶς ἀγαπᾷ, καὶ ἐν τῷ μεταξύ μας ἂς μὴ εἶναι αὐτὴ ἡ περιέργεια. Διὰ τὴν ἄφθονον συνδρομὴν καὶ βοήθειαν τῆς μακαριότητός της μεγάλας ὁμολογοῦμεν τὰς χάριτας οἷα καὶ ἀριδήλως ὁποῦ μᾶς τὰ γράφουν οἱ ἄνθρωποί μας, καὶ πάλιν παρακαλοῦμεν νὰ εὑρίσκωνται εἰς τὸ σκέπος της μὲ τὸ ἔλεος τοῦ ἐκλαμπροτάτου ἀδελφοῦ μας.

Ἐλάβομεν καὶ παρὰ τῆς ἀδελφότητός της γράμμα καὶ ἀπεκρίθημεν. Διὰ τὰ ἀμπέλια σημειώνει ἡ μακαριότητά της ὅτι μὲ τὸ νὰ

μὴν εὑρέθησαν ἐκεῖ σιμὰ εἰς τὸ χωρίον, δὲν ἐδόθησαν παράμερα, καὶ πῶς οἱ ἄνθρωποί μας δὲν τὰ ἠθέλησαν· ὅμως περὶ τούτου δὲν μᾶς ἀποκρίθησαν ἔτζι, ἀλλὰ μόνον πῶς δὲν τοὺς ἐδόθησαν, καὶ ὅτι ὁ ἐκλαμπρότατος νὰ τοὺς ἔταξε πῶς θέλει τοὺς δώσῃ· καὶ εἰς αὐτὸ πολλὰ παρακαλοῦμεν νὰ ἐπιστατήσῃ ἡ μακαριότητά της ἐπιμελῶς ὁποῦ νὰ μὴ μείνωμεν χωρὶς ἀμπελίων, ἐπειδὴ κατὰ πολλὰ εἶναι ἀναγκαῖον εἰς τοῦ λόγου μας, καὶ εὔκολον νομίζομεν νὰ εἶναι εἰς τὸν ἐκλαμπρότατον· μάλιστα ὁποῦ εὑρίσκονται τόσα ἐκεῖ πλησίον ἀπὸ τὰ ἀμπέλια τοῦ σπαθάρη Θωμᾶ, ἐξ ὧν εἶχε καὶ ὁ Φλερέσκουλος πενῆντα πογόνια, καὶ ἔμειναν εἰς τοὺς υἱούς του· τώρα, ἂν καὶ ἐδόθησαν αὐτοῖς, δὲν εἶναι δύσκολον οὔτε ἄτοπον κἂν δώδεκα πογόνια νὰ μᾶς διορισθοῦν ἀπὸ ἐκεῖνα, καὶ μᾶς γίνεται μεγάλη χάρις.

Ἔτζι τὴν παρακαλοῦμεν νὰ μᾶς χαροποιήσῃ, γνωρίζοντες καὶ ἡμεῖς τὴν χάριν παρ' αὐτῆς καθὼς καὶ εἰς τὰ ἄλλα. Διὰ τῆς θυγατρός μας τὴν ὑπόθεσιν ὁποῦ μᾶς χαράζει ἐν πιττακίῳ ἔγνωμεν καταλεπτῶς, ὥστε ἅπασα ἡ ἐλπὶς καὶ ἡ ὑπόθεσις κρέμεται εἰς τὴν καλὴν κυβέρνησιν καὶ φροντίδα τῆς μακαριότητός της. Καὶ πάλιν νὰ ἔχωμεν εὐδησιν καὶ εἰς τὸ ἑξῆς· τὰ ἔτη δὲ αὐτῆς εἴησαν πάμπολλα καὶ ἀγαθὰ καὶ αἱ μακάριαι εὐχαὶ μεθ' ἡμῶν.

ᾳψιθ', ἰουλίου θ'.

Τῆς σῆς μακαριότητος

υἱὸς κατὰ πνεῦμα

Ἰω. Ἀντίοχος Κωνσταντῖνος βοεβόδας.

132

Μαρίας δόμνας ἐπιστολὴ πρὸς Χρύσανθον,
πατριάρχην Ἱεροσολύμων.

1719 ἰουλίου 17.

Τὸ ἱερὸν γράμμα τῆς ὑμετέρας μακαριότητος προσκυνητῶς ἐδέχθημεν, καὶ διὰ τὴν ἀγαθήν της ὑγείαν ὕμνους εὐχαριστηρίους τῷ

θεῷ ἀνεπέμψαμεν. Ἔγνωμεν καὶ τὰ ἐφεξῆς γεγραμμένα · καὶ ὅσον μὲν διὰ τὴν ἀναχώρησιν τοῦ ὑψηλοτάτου αὐθέντου ἀπὸ τὰ αὐτόθι, μᾶς ἐκακοφάνη κατὰ πολλὰ, ἐπειδὴ ὀρεγόμεθα μὲ ὅλην μας τὴν ψυχὴν νὰ κάθεται εἰς τὰ αὐτόθι, ἔχοντές το τοῦτο, καθὼς καὶ τῆς προεσημειώσαμεν, διὰ ἔπαινον καὶ τιμήν μας · ἴσως ὅμως καὶ ἡ ὑψηλότης του νὰ ἀνεχώρησε διὰ ταύτην τὴν ἀσθένειαν · τὸ ὁποῖον ἂν εἶναι τοιαύτης λογῆς, μὲ καλὸν λογαριασμὸν τὸ ἔκαμε, ἐπειδὴ καὶ τὸ νὰ συχνομετατοπίζῃ τινὰς εἰς τὸν παρόντα καιρὸν, δὲν εἶναι ἀνωφελές · ὅσον δὲ διὰ τὴν μακαριότητά της πῶς ἀπέμεινε εἰς τὰ ὁσπίτια, ὄχι νὰ μᾶς κακοφανῇ καθὼς σημειοῖ, ἀλλὰ μάλιστα μᾶς ἐκαλοφάνη, καὶ τὸ ἐχάρημεν κατὰ πολλὰ, τὴν ὁποίαν ὁ ἅγιος θεὸς νὰ τὴν διαφυλάττῃ ἐν ἄκρᾳ ὑγείᾳ καὶ πάσῃ εὐθυμίᾳ, καὶ τὴν παρακαλοῦμεν νὰ καθίσῃ εἰς τὰ ὁσπίτια ἕως ὁποῦ ὁρίζει, ἐπειδὴ καὶ ἡμεῖς εἰς τὰ αὐτόσε τώρα ὀγλήγορα δὲν ἔχομεν σκοπὸν νὰ ἔλθωμεν.

Ἰδοὺ ὁποῦ ἐπροστάξαμεν καὶ τὸν περκαλᾶμον ὁποῦ νὰ ἔχῃ τὴν φροντίδα διὰ νὰ μὴν τῆς λείψῃ τίποτες, καὶ παρακαλοῦμεν καὶ ἡ μακαριότης της τόσον εἰς τὴν ποίμνιτζα, ὅσον καὶ εἰς τὰ λοιπὰ, νὰ προστάζῃ ὡς ἴδιος νοικοκύρης, χωρὶς κἀμίαν ἀμφιβολίαν, καὶ, ἂν ἀκούσωμεν πῶς δὲν κάμνει καθὼς τῆς σημειοῦμεν, νὰ εἶναι βεβαία πῶς θέλει μᾶς κακοφανῇ κατὰ πολλὰ καὶ νὰ κακοκαρδίσωμεν ἀπάνω της.

Πρὸς τούτοις γράφει ἡ μακαριότης της ὅτι, οὖσα εἰς τὰ αὐτόθι, ἤκουσε διὰ τὸν κὺρ Γεωργάκην τὸν γαμβρόν μας πῶς ὁ ὑψηλότατος αὐθέντης τὸν ἔκαμε λογοθέτην, καὶ μᾶς σημειοῖ νὰ μὴν ὑπολάβωμεν πῶς τὸ ἔκαμεν μὲ κἀμίαν ὀργὴν, ἐπειδὴ καὶ ἡ ὑψηλότης του, τὴν ἀγάπην ὁποῦ εἶχε πρότερον εἰς τοῦ λόγου μας καὶ πρὸς ὅλον μας τὸ ὁσπίτι, τὴν αὐτὴν ἔχει καὶ τώρα χωρὶς κἀμίαν ἀμφιβολίαν · καὶ πῶς ὁ ὑψηλότατος δὲν τὸ ἔκαμε μὲ κἀμίαν ὀργὴν, μακαριώτατε δέσποτα, δὲν ἀμφιβάλλομεν, ἐπειδὴ καὶ ἡμεῖς καὶ ὅλοι μας οἱ γαμβροὶ γνωρίζομεν πῶς φέρονται μὲ μεγάλην ἀγάπην καὶ πίστιν βεβαιοτάτην πρὸς τὴν ὑψηλότητά του, καὶ πρὸς τοὺς πιστοὺς καὶ εὐπειθεῖς του δούλους · ἡ ὑψηλότης του, εἶμαι βεβαία, ὄχι ὀργὴν, ἀλλὰ μᾶλλον

ἀγάπην καὶ εὔνοιαν δείκνυσι, ἀπὸ τὴν ὁποίαν παρακαλοῦμεν τὴν ὑψηλότητά του νὰ μὴν μᾶς ἀπομακρύνῃ, ἀλλὰ, καθὼς μέχρι τοῦ νῦν, ἔτζι καὶ ἀπὸ τοὐντεῦθεν νὰ μᾶς ἀγαπᾷ, καὶ νὰ μᾶς ἐλεῇ μὲ τὴν ἀναγκαίαν κυβέρνησιν. Διὰ δὲ τὰς ἀρχοντίας καὶ τὰ ὀφφίκια τῆς κούρτης, καθὼς ἤθελε φανῇ ἀρεστὸν τῇ ὑψηλότητί του, καὶ ἤθελε τὸ εὕρῃ εὔλογον ἡ αὐτοῦ μεγαλόνοια, ἔτζι πρέπει νὰ κάμῃ · τὰ τοιαῦτα δὲν ἐδόθη εἰς τοῦ λόγου μας νὰ τὰ ἐξετάσωμεν.

Δύο γράμματα ἐπέμψαμεν προχθὲς μὲ τὸν στόλνικον κὺρ Ματαίην πρὸς τὴν μακαριότητά της, τὰ ὁποῖα ἂν τύχῃ τινὰς νὰ πηγαίνῃ πρὸς τὴν Κωνσταντινούπολιν, παρακαλοῦμεν νὰ τὰ πέμψῃ.

Ἡ νύμφη μου Ἀννίτζα προσκυνεῖ καὶ ἀσπάζεται εὐλαβῶς τὴν ἱεράν της δεξιὰν, ὁμοίως καὶ οἱ ἔγγονοί μου Κωνσταντῖνος καὶ ἡ Μαριοῦτζα, οἱ ὁποῖοι ἐμοιράσθησαν καὶ τὰ σταλθέντα αὐτοῖς ἀδελφικὰ χωρὶς κἀμίαν σύγχυσιν, καὶ ὑπερευχαριστοῦσι τὴν μακαριότητά της ὁποῦ δὲν τοὺς ἀλησμονεῖτε.

Ταῦτα. Τὰ δὲ ἔτη τῆς ὑμετέρας μακαριότητος εἴησαν θεόθεν πάμπολλα καὶ πανευδαίμονα, καὶ αἱ θεοπειθεῖς αὐτῆς ευχαὶ μεθ' ἡμῶν.

ᾳψιθ', ἰουλίου ιζ'.

Τῆς ὑμετέρας μακαριότητος

θυγάτηρ ἐν Χριστῷ

καὶ εἰς τοὺς ὁρισμοὺς,

Μαρία δόμνα.

Ἐλάβομεν καὶ ἡμεῖς τὰς σταλθείσας ἡμῖν σαρδέλλας, καὶ ὑπερευχαριστοῦμεν.

133

Μαρίας δόμνας ἐπιστολὴ πρὸς Χρύσανθον,
πατριάρχην Ἱεροσολύμων.

1719 ἰουλίου.

Τὸ ἱερὸν γράμμα τῆς ὑμετέρας μακαριότητος προσκυνητῶς ἐδέχθημεν, ἐξ οὗ τὴν ἀγαθήν της ὑγείαν πληροφορηθεῖσα ὑπερεχάρην, καὶ ἀνέπεμψα τῷ θεῷ ὕμνους καὶ ᾠδὰς εὐχαριστηρίους.

Ὑπερευχαριστοῦμεν τὴν ὑμετέραν μακαριότητα διὰ τὴν πατρικὴν θερμοτάτην ἀγάπην ὁποῦ φέρει πρὸς ἡμᾶς, ἡ ὁποία καὶ πρότερον ἦτον γνωστὴ εἰς τοῦ λόγου μας · καὶ τώρα ὅμως τὴν ἐβεβαιώθημεν περισσότερον ὡσὰν ὁποῦ εἰς τὸν τοιοῦτον καιρὸν δὲν ὑπόφερε νὰ σιωπήσῃ, ἀλλὰ, κινουμένη ὑπὸ τῆς πατρικῆς της ἀγάπης, ἔγραψεν ἐξετάζουσα διὰ τὴν ὑγείαν μας · διὰ τὸ ὁποῖον καὶ θέλει ἠξεύρῃ ὅτι, μὲ τὸ ἔλεος τοῦ θεοῦ καὶ δι' εὐχῶν ἁγίων τῆς μακαριότητός της, μέχρι τοῦ νῦν ὑγιαίνομεν ἅπαντες.

Διὰ τὸν γλυκύτατόν μας ἀδελφὸν Πᾶνον βέβαια ἐλυπήθημεν κατὰ πολλὰ, καὶ ἐχύσαμεν πηγὰς δακρύων διὰ τὴν αὐτοῦ ἀποβίωσιν, μάλιστα καὶ ἐγγὺς θανάτου ἤλθομεν ἀπὸ τὴν ὑπερβολικήν μας θλῖψιν · ὅμως συλλογιζομένη αὖθις, κατὰ τὴν πατρικήν της συμβουλὴν, πῶς ἐκ τούτου κἀνένα ὄφελος δὲν προσγίνεται, ἐσιώπησα δίδουσα δόξαν τῷ θεῷ, τὸν ὁποῖον καὶ παρακαλῶ ἐκεῖνον μὲν νὰ ἀναπαύσῃ εἰς τὰς σκηνὰς τῶν δικαίων, εἰς δὲ τοὺς ἐναπολειφθέντας νὰ δίδῃ ὑγείαν καὶ ζωὴν μακροχρόνιον, καὶ νὰ μὴν μὲ παιδεύσῃ ζῶσαν πλέον ἀπὸ τοὐντεῦθεν μὲ ἄλλο τοιοῦτον συμβεβηκός.

Διὰ τὸν ὑψηλότατον ἡμῶν αὐθέντην πῶς εὑρίσκεται εἰς Μογοσόϊαν, μᾶς καλοφαίνεται κατὰ πολλὰ, καὶ χαίρομεν διὰ τὴν ἀγάπην καὶ τὴν τιμὴν ὁποῦ δεικνύει εἰς τοῦ λόγου μας · ὁ πανοικτίρμων θεὸς νὰ διαφυλάττῃ τὴν ὑψηλότητά του ὑγιᾶ καὶ εὔθυμον, ὁμοῦ καὶ τὴν ἐκλαμπροτάτην δόμναν, καὶ τοὺς κυρίους μπεϊζαδέδες, τοὺς ἐκλάμ-

πρους βλαστοὺς τῆς ὑψηλότητός του, καὶ παρακαλοῦμεν ἕως οὗ ὁ πολυεύσπλαγχνος κύριος νὰ κάμῃ τὸ ἔλεός του, καὶ νὰ παύσῃ ταύτην τὴν δικαίαν του ὀργήν.

Ἂν εὑρίσκῃ ἡ ὑψηλότης του εἰς τὰ αὐτόθι τὴν ἀνάπαυσίν του, νὰ καθίσῃ, καὶ θέλομεν τὸ γνωρίζῃ διὰ ἔπαινον καὶ τιμήν μας μεγάλην.

Ἡ νύμφη μου Ἀννίτζα μετὰ τοῦ ἐγγόνου μου Κωνσταντίνου καὶ Μαρίας προσκυνοῦσι καὶ ἀσπάζονται τὴν ἱερὰν αὐτῆς δεξιάν.

Παρακαλοῦμεν τὴν μακαριότητά της νὰ μὴν λείπωσι τὰ ταπεινὰ ἡμῶν ὀνόματα ἀπὸ τὰς μακαρίας αὐτῆς πρὸς τὸν θεὸν ἐντεύξεις, διὰ νὰ γίνῃ ἵλεως πρὸς ἡμᾶς, καὶ νὰ μᾶς διαφυλάττῃ ἀπὸ τὴν δικαίαν του ταύτην ὀργὴν, τὴν δικαίως καθ' ἡμῶν κινουμένην.

Ταῦτα. Τὰ δὲ ἔτη τῆς ὑμετέρας μακαριότητος εἴησαν πάμπολλα καὶ εὐτυχῆ, καὶ αἱ θεοπειθεῖς της εὐχαὶ μεθ' ἡμῶν.

ᾳψιθ', ἰουλίου (?)

Τῆς ὑμετέρας μακαριότητος

θυγάτηρ ἐν Χριστῷ καὶ εἰς τοὺς ὁρισμοὺς,

Μαρία δόμνα.

134

Γράμμα πιστοποιοῦν τὴν διὰ μνημόσυνον αἰώνιον ἀφιέρωσιν εἰς τὸν ἅγιον Τάφον δύο μωσιῶν, ὑπὲρ τῆς θυγατρὸς τοῦ Κ. Βασσαράβα, ἡγεμόνος Οὐγκροβλαχίας, ὑπὸ τοῦ γαμβροῦ τούτου.

1719.

Ἐνεχείρισα τὸ παρὸν ἡμέτερον γράμμα τῷ μακαριωτάτῳ καὶ ἁγιωτάτῳ πατριάρχῃ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης κυρίῳ Χρυσάνθῳ πρὸς βεβαίωσιν παντοτινὴν ὅτι, ἀποθανούσης τῆς φιλτάτης ἡμῶν θυγατρὸς Στάνκας, καὶ ταφείσης εἰς τὸ μοναστήριον τοῦ ἁγίου Γεωργίου, τοῦ ἐκ θεμελίων κτισθέντος καὶ

ἀφιερωθέντος τῷ παναγίῳ καὶ ζωοδόχῳ Τάφῳ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ παρὰ τοῦ ἀειμνήστου αὐθέντου Κωνσταντίνου Μπασαράμπα βοεβόδα, τοῦ καὶ ἡμετέρου πενθεροῦ, πρέπον καὶ ἁρμόδιον ἔγνωμεν ἀφιερῶσαι τῷ παναγίῳ καὶ ζωοδόχῳ Τάφῳ μίαν μωσίαν ὀνομαζομένην Πιτζιγάϊαν ὀργυιῶν ξη', διὰ μνημόσυνον τῆς τε ῥηθείσης ἡμῶν θυγατρὸς καὶ ἡμέτερον · ἥνπερ μωσίαν ἐλάβομεν παρὰ τοῦ πανιερωτάτου μητροπολίτου Οὐγκροβλαχίας μακαρίτου κὺρ Μητροφάνους ἐν λόγῳ ἀλλαγῆς, δόντες αὐτῷ ἑτέραν ἀντ' αὐτῆς. Ὑποσχόμεθα δὲ ἀφιερῶσαι προσέτι τῷ παναγίῳ καὶ ζωοδόχῳ Τάφῳ καὶ ἑτέραν τινὰ μωσίαν, ὥστε γενέσθαι τὴν ἅπασαν μετὰ τῆς ἄνωθεν τιμῆς πεντακοσίων γροσίων · ὡς εἶναι τὴν ἀφιερωθεῖσαν ταύτην μωσίαν ψυχικῆς σωτηρίας χάριν ὡς μερίδιόν τι τοῦ ἐπιβάλλοντος μέρους τῆς προικὸς, ἣν ἔμελλε λαβεῖν παρ' ἡμῶν ἡ φιλτάτη θυγάτηρ Στάνκα. Ἐγένετο δὲ ἡμῖν ἡ ἀφιέρωσις, μετὰ ὑποσχέσεως τῆς αὐτοῦ μακαριότητος τοιαύτης, ὅπως δηλονότι εἴη ὡρισμένον ἐκτελεῖσθαι κατ' ἔτος ἑπτὰ λειτουργίας ἀπαραιτήτως εἰς μνημόσυνον τῆς διαληφθείσης ἡμῶν θυγατρὸς Στάνκας καὶ ἡμέτερον · καὶ τὰς μὲν δύο ἱερουργεῖσθαι ὑπ' αὐτοῦ τοῦ κατὰ καιρὸν ἁγιωτάτου πατριάρχου, ὅπου καὶ ὅταν βουληθείη · τὰς δὲ τρεῖς λειτουργίας γενέσθαι εἰς τὸν ἐνταῦθα ἅγιον Γεώργιον, τὴν μὲν τῇ κη' τοῦ ἰουνίου, ἐν ᾗ καὶ τὴν ψυχὴν παρέδωκε τῷ θεῷ ἡ θυγάτηρ ἡμῶν · τὴν δὲ τῇ πρώτῃ τοῦ σεπτεμβρίου, καὶ τὴν τρίτην τῇ πρώτῃ τοῦ μαΐου · αἱ δὲ λοιπαὶ δύο ἐν αὐτῇ τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Τάφου ἐν Ἱερουσαλὴμ διετάχθησαν γενέσθαι · τὴν μίαν τῇ κη' τοῦ ἰουνίου καὶ τὴν λοιπὴν τῇ πρώτῃ τοῦ αὐγούστου, καὶ οὕτω συμπληρωθήσονται ἑπτὰ ὁλόκληροι λειτουργίαι καθ' ἕκαστον ἔτος. Ταύτην δὲ τὴν πρὸς ἀλλήλους ἡμῖν συμφωνίαν ὁ μακαριώτατος δεσπότης καὶ ἀραῖς προσεπεκύρωσεν ἀλύτοις, ἵνα πάντες οἱ μετέπειτα διάδοχοι, τοσοῦτον ἁγιώτατοι πατριάρχαι, ὅσον καὶ ἐπίτροποι τῆς Ἱερουσαλὴμ, καὶ ἡγούμενοι τοῦ ἐνταῦθα ἁγίου Γεωργίου φυλάξωσιν ἀπαραχάρακτον εἰς αἰῶνα τὸν ἅπαντα τὸν συμπεφωνημένον περὶ τῶν κατ' ἔτος ἑπτὰ λειτουργιῶν · καὶ γὰρ τούτου χάριν ἀφιερώσαμεν τὴν μωσίαν Πιτζιγάϊαν, μετὰ

καὶ ἄλλης μωσίας ἣν εἰς τὸ ἑξῆς ἔγνωμεν ἀφιερῶσαι εἰς ἐκπλήρωσιν μωσίας πεντακοσίων γροσίων. Ὅθεν καὶ μένουσιν ὀφειλέται ὅ, τε ἅγιος Τάφος, καὶ ὁ κατὰ καιροὺς ἁγιώτατος πατριάρχης, καὶ ὁ τοῦ ἁγίου Γεωργίου ἡγούμενος πληρῶσαι τὴν ὑπόσχεσιν · οὓς καὶ μετὰ πολλῆς ὑποκλίσεως παρακαλοῦμεν μὴ ὀκνῆσαι πρὸς ἀποπλήρωσιν τοῦ τοιούτου περὶ ψυχικῆς σωτηρίας χρέους τῆς θανούσης ἡμῶν θυγατρὸς καὶ τῆς ἡμετέρας, εἰδότες καλῶς ὅτι αἱ ὑποσχέσεις ὀφείλουσι φυλάττεσθαι, καὶ μάλιστα αἱ γινόμεναι μετὰ ἀλύτων δεσμῶν. Ὅθεν καὶ πάλιν λέγομεν καὶ παρακαλοῦμεν τοὺς εἰσέπειτα πατριάρχας, οἰκονόμους τε τοῦ ἁγίου Τάφου καὶ ἡγουμένους τοῦ ἁγίου Γεωργίου ὅπως ἐκτελέσωσι ταύτην τὴν σωτήριον εὐεργεσίαν περί τε τῶν ἡμετέρων ψυχῶν, καὶ τῆς τεθνηκυίας ἡμῶν θυγατρός. Δέδωκα προσέτι καὶ τὸ περὶ τῆς ἀλλαγῆς τῆς μωσίας ἔγγραφον, ὅπερ εἶχον παρὰ τοῦ μακαρίτου μητροπολίτου κὺρ Μητροφάνους, ἐν ᾧ περιέχεται μὲν καὶ ἑτέρα τις μωσία τοῦ Αὐξεντίου-Καπετάνου, ἀλλ' ἐκείνης οὐ μετέχω ὅτι πρὸ πολλοῦ δέδωκα αὐτὴν τῷ ῥηθέντι Αὐξεντίῳ λαβὼν παρ' αὐτοῦ καὶ χρήματα · εἰς οὖν βεβαιωτέραν πίστωσιν καὶ διὰ σφραγῖδος ἡμετέρας τὸ παρὸν ἔγγραφον ἐξησφαλίσθη, καὶ διὰ μαρτυρίας πολλῶν μεγάλων ἀρχόντων, τῶν κάτωθεν ὑπογεγραμμένων, καὶ ἔστω εἰς ἔνδειξιν.

Ἐν ἔτει ᾳψιθ'.

(Λείπουν αἱ ὑπογραφαί.)

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου.)

135

Γράμμα σιγιλλιῶδες Χρυσάνθου Ἱεροσολύμων περὶ τῆς ἀφιερωθείσης τῷ ἁγίῳ Τάφῳ μωσίας Πιτζιγάϊας ὑπὸ τοῦ Νικολάου Ῥωσσέτου, μεγάλου παχαρνίκου Οὐγκροβλαχίας.

1720 αὐγούστου.

Χρύσανθος, ἐλέῳ θεοῦ, καὶ τὰ ἑξῆς.

Ὅσα τῶν γινομένων κατ' ἔνθεον ζῆλον καὶ διάπυρόν τινα εὐλάβειαν ὑπὲρ ψυχικῆς σωτηρίας τοῖς φιλευσεβέσι προβάλλονται καὶ διενεργοῦνται, ἃ καὶ προηγούμενα ἑαυτοῖς τὴν θείαν ἀρέσκειαν καὶ τὴν θεοσέβειαν κέκτηνται, τὰ τοιαῦτα ἅτε ἀρχηγὸν τὸν ὑπεράγαθον καὶ πάντων τῶν ἀγαθῶν χορηγὸν καὶ πρύτανιν πλουτοῦντα θεὸν, οὐ μόνον ἐπαινεῖν καὶ μακαρίζειν πάντες ὀφείλομεν, ἀλλὰ καὶ συνιστᾶν αὐτὰ καὶ δεφενδεύειν πᾶσι τρόποις, καὶ λόγοις, καὶ ἔργοις, καὶ γράμμασι, καὶ συνηγορεῖν αὐτοῖς ὅση δύναμις, καὶ προνοίας ἀξιοῦν πάσῃ ἐπιμελείᾳ πρὸς σύστασιν αὐτῶν, καὶ διαμονὴν καὶ ἀσφάλειαν · οὐκ ἄλλως γὰρ εἴωθεν αὐξάνεσθαι τὰ καλὰ καὶ πλατύνεσθαι, ἀλλ' ἢ ταῖς περὶ αὐτὰ σπουδαῖς, καὶ ἐπιμελείαις, καὶ ταῖς ἐκ τῶν ἐνόντων ἐπισυστάσεσί τε καὶ βεβαιώσεσι, δι' ὧν ἀκμάζειν εἴωθε ταῦτα καὶ θάλλειν διηνεκῶς, καὶ τῇ τοῦ πανδαμάτορος χρόνου φθορᾷ ἀνάλωτα διασώζεσθαι.

Ἐπειδὴ τοιγαροῦν καὶ ὁ εὐγενέστατος καὶ λογιώτατος ἄρχων μέγας παχάρνικος τῆς ὑψηλοτάτης αὐθεντείας Οὐγκροβλαχίας κύριος Νικόλαος Ῥωσσέτος, ὁ ἐν ἁγίῳ πνεύματι υἱὸς ἀγαπητὸς καὶ περιπόθητος τῆς ἡμῶν μετριότητος, ἐμφύτῳ εὐλαβείας πόθῳ καὶ διεγηγερμένῳ φίλτρῳ ζέοντος πνεύματος οἴκοθεν κεντηθεὶς καὶ ὁρμηθεὶς εἰς τὸ μετὰ δικαιοπραξίας εὐαρεστῆσαι τῷ θεῷ, οἷα δὴ ὑπὸ τῶν θείων καὶ εὐαγγελικῶν προκατηχημένος εἰσηγήσεων, καὶ μυστικῇ ἐπιπνοίᾳ ἐνηχηθεὶς τοῦ ἁγίου πνεύματος, ὡς ἄξιος οἰκονόμος τῶν ἐνταῦθα παρερχομένων καὶ ἀξιεπαίνετος, ἔγνω προσενεγκεῖν καὶ διελεῖν τῷ παναγίῳ καὶ ζωοδόχῳ τοῦ κυρίου Τάφῳ ἐκ τῶν αὐτοῦ, καὶ τῶν ὑποστατικῶν πραγμάτων μερίδα τινὰ ἐξ αὐθαιρέτου βουλῆς αὐτοῦ καὶ θελήσεως τῇ σοφῇ παραινέσει ἑπόμενος, καὶ πειθαρχῶν εὐσεβῶς ἀποφαινομένη, καὶ τοῖς ὀκτὼ φυλάττειν, καὶ διδόναι ἀπόμοιραν, τῷ ὀγδόῳ δηλονότι καὶ ἀτελευτήτῳ αἰῶνι · κἀντεῦθεν τὸν ἔνθεον αὐτοῦ σκοπὸν τοῦτον καὶ εἰς πρᾶξιν ἀγαγεῖν κατὰ τάχος ἐπανῃρημένος, ἀφιερώσατο μίαν μωσίαν Πιτζιγάϊαν ὀνομαζομένην ὀργυιῶν ἑξηκοντα ὀκτὼ καὶ ἡμισείας ἣν παρέλαβε παρὰ τοῦ μακαρίτου μητροπολίτου Οὐγκροβλαχίας κὺρ Μητροφάνους λόγῳ ἀλλαγῆς, δοὺς δηλαδη

ἑτέραν ἀντ' αὐτῆς μετὰ ὑποσχέσεως τοῦ ἀφιερῶσαι προσέτι καὶ ἑτέραν τινὰ μωσίαν, ὥστε γενέσθαι τὴν ἅπασαν μετὰ τῆς ἄνωθεν τιμῆς γροσίων πενταχοσίων· ἔμπης ἡ ἀφιέρωσις αὕτη τῶν ῥηθέντων πραγμάτων παρὰ τῆς αὐτοῦ εὐγενείας πρὸς τὸν πανάγιον τοῦ κυρίου Τάφον ἐγένετο ἐπὶ ῥητῇ συμφωνίᾳ μετὰ τῆς ἡμῶν μετριότητος, ἥτις ἐστὶ τοιαύτη· ὅπως καθ' ἕκαστον χρόνον ἔχωσιν ἐκτελεῖσθαι ἀπαραιτήτως λειτουργίαι ἑπτὰ ἐν ὡρισμένοις καιροῖς καὶ τόποις, εἰς μνημόσυνον τῆς ἐν κυρίῳ κεκοιμημένης θυγατρὸς τοῦ ῥηθέντος ἄρχοντος Στάνκας, καὶ διὰ ψυχικὴν σωτηρίαν ἐκείνης, ἔτι δὲ καὶ διὰ τὴν ὑγείαν, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν τῆς αὐτοῦ εὐγενείας· ὧν τινων ἁγίων ἑπτὰ λειτουργιῶν, τὰς μὲν δύο ἱερουργεῖσθαι ὑπ' αὐτοῦ τοῦ κατὰ καιρὸν ἁγιωτάτου πατριάρχου Ἱερουσαλὴμ ὅπου καὶ ὅταν βουληθείη· τὰς δὲ τρεῖς λειτουργίας ἐπιτελεῖσθαι παρὰ τῷ ἐν τῷ Βουκουρεστίῳ τῆς Βλαχίας σεβασμίῳ ναῷ τοῦ ἁγίου μαγαλομάρτυρος Γεωργίου· τὴν μὲν τῇ εἰκοστῇ ὀγδόῃ τοῦ ἰουνίου μηνὸς, τὴν δὲ τῇ πρώτῃ τοῦ σεπτεμβρίου, καὶ τὴν τρίτην τῇ πρώτῃ τοῦ μαΐου· αἱ δὲ λοιπαὶ δύο ἐν αὐτῇ τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Τάφου ἐν Ἱερουσαλὴμ διετάχθησαν γίνεσθαι, τὴν μίαν τῇ εἰκοστῇ ὀγδόῃ τοῦ ἰουνίου καὶ τὴν λοιπὴν τῇ πρώτῃ τοῦ αὐγούστου, καὶ τῷ τρόπῳ τούτῳ συμπληροῦσθαι καὶ ἀπαρτίζεσθαι ὁλοκλήρως τὰς ἑπτὰ αὐτὰς λειτουργίας ἐπιτελουμένας καθ' ἕκαστον χρόνον· ἥν τινα συμφωνίαν καὶ ἀφιέρωσιν τῶν ῥηθέντων πραγμάτων ἐζήτησεν ὁ διαληφθεὶς ἄρχων ἐπιβεβαιωθῆναι καὶ παρὰ τῆς ἡμῶν μετριότητος διὰ γράμματος αὐτῆς ἐπὶ τῷ μένειν ἀμετάθετον καὶ ἀμεταποίητον τὸ σύνολον εἰς αἰῶνα τὸν ἅπαντα· καὶ δὴ τὴν αἴτησιν αὐτοῦ ταύτην, ὡς εὔλογον, καὶ δικαίαν, εὐλαβείας τε καὶ θεοσεβείας γέμουσαν εὐμενῶς ἀποδεξαμένη καὶ ἡ μετριότης ἡμῶν, γράφουσα διὰ τοῦ παρόντος ἐν ἁγίῳ ἀποφαίνεται πνεύματι, ὅπως ἡ γενομένη συμφωνία καὶ ὑπόσχεσις παρ' ἡμῶν περὶ τοῦ ἐκτελεῖσθαι κατ' ἔτος τὰς ἑπτὰ λειτουργίας, καθ' ὃν εἴρηται ἀνωτέρω τρόπον, καὶ τόπον, καὶ χρόνον ὑπὲρ ψυχικοῦ μνημοσύνου τοῦ τε ῥηθέντος ἄρχοντος μεγάλου παχαρνίκου κυρίου Νικολάου καὶ τῆς ἐν κυρίῳ κεκοιμημένης ἀοιδίμου θυγατρὸς αὐτοῦ

Στάνκας, ἀντὶ τῶν ὧν ἀφιέρωσεν ὁ αὐτὸς ἄρχων ὑποστατικῶν καὶ μωσιῶν τῷ παναγίῳ καὶ ζωοδόχῳ τοῦ κυρίου Τάφῳ, ἔχῃ τὸ κῦρος καὶ τὴν ἰσχὺν βεβαίαν καὶ ἀμετάθετον ἐς ἀεὶ, καὶ φυλάττηται, καὶ διενεργῆται ἀναντιρρήτως εἰς τὸν ἅπαντα χρόνον παρά τε τῶν μεθ' ἡμᾶς τὸν πατριαρχικὸν τοῦτον θρόνον τῶν Ἱεροσολύμων διαδεξομένων, καὶ παρὰ τοῦ κατὰ καιροὺς ἐπιτρόπου τοῦ ἁγίου Τάφου, καὶ ἡγουμένου τοῦ ἐν Βουκουρεστίῳ μοναστηρίου τοῦ ἁγίου Γεωργίου. Ὅθεν εἰς ἔνδειξιν, καὶ ἀσφάλειαν, καὶ συντήρησιν ἀπαράτρεπτον τῶν ἐν τῷ παρόντι γεγραμμένων καὶ συμφωνηθέντων, ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν ἐπιβεβαιωτήριον γράμμα.

ϛψκ', ἐν μηνὶ αὐγούστῳ.

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου).

136

Πατριαρχικὸν ἐπιβεβαιωτήριον γράμμα πρὸς τὸν μητροπολίτην Οὐγκροβλαχίας περὶ τῆς ἀσυδοσίας Πανταζῆ Πριμικηρίου.

1720.

Ἱερώτατε μητροπολῖτα Οὐγκροβλαχίας, ὑπέρτιμε καὶ ἔξαρχε Πλαγηνῶν, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ, καὶ ὁσιώτατοι καθηγούμενοι τῶν αὐτόθι ἱερῶν καὶ σεβασμίων μοναστηρίων, εὐγενέστατοι ἄρχοντες, χρήσιμοι πραγματευταὶ καὶ λοιποὶ εὐλογημένοι χριστιανοὶ, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ · εὐχὴ δὲ, εὐλογία καὶ συγχώρησις παρ' ἡμῶν.

Ὅσα ποτὲ κατὰ καιροὺς ἔφθασαν φιλοτιμηθῆναι καὶ εὐεργετηθῆναι, καὶ τοῦτο μάλιστα τὰ ἐξ αὐθεντικῶν χρυσοβούλλων ἀπολυθέντα εἰς φιλοτιμίαν τοῖς ὀρθοδόξοις, ἐπ' εὐλόγοις τισὶν αἰτίαις, προνόμια καὶ χαρίσματα, ἀμειβομένων δικαίως ταῖς κατ' ἀξίαν φιλοδωρίαις καὶ ἀντιδόσεσι τὸ πιστὸν καὶ πρόθυμον τῆς διακονίας ἐκείνων, ἐφ' ᾧ

μὴ διαμένειν τὴν ἀρετὴν ἀγέραστον ὑπὸ τῶν προεστᾶναι λαχόντων · ταῦτα ἐμφανιζόμενά ποτε καὶ ἡμῖν, καὶ τῆς ἐκκλησιαστικῆς προνοίας δεόμενα εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἀποδοχῆς ἁπάσης ἐπάξια κρίνεται, ὡς τοῦ δικαίου καὶ νομίμου ἐχόμενα · κἀντεῦθεν καὶ τὴν προσήκουσαν ἐπισύστασιν λαμβάνει παρὰ τῆς ἐκκλησίας δι' ἡμετέρων πατριαρχικῶν καὶ συνοδικῶν γραμμάτων, καὶ τὴν εἰς τὸν μετέπειτα χρόνον ἐμπέδωσιν ἑαυτοῖς περιποιεῖται τῇ δυνάμει τοῦ πνεύματος, ἀνεπιχείρητον τοῖς μεταγενεστέροις ἀποδεικνύντα ὡς οἷόν τε τὴν ἀνατροπὴν καὶ ἀναίρεσιν τῆς ἐξ ἀρχῆς καλῆς καὶ δικαίας αὐτῶν ὑποστάσεως.

Ἐπειδὴ τοιγαροῦν καὶ ὁ εὑρισκόμενος καὶ διατρίβων εἰς τὰ αὐτόθι ἐν χρησίμοις πραγματευταῖς κὺρ Πανταζῆς Πριμικήριος, υἱὸς κατὰ πνεῦμα ἀγαπητὸς τῆς ἡμῶν μετριότητος, ἐξυπηρετήσας πιστῶς καὶ προθύμως τῷ ὑψηλοτάτῳ καὶ εὐσεβεστάτῳ αὐθέντῃ καὶ ἡγεμόνι πάσης Οὐγκροβλαχίας, κυρίῳ κυρίῳ Ἰωάννῃ Νικολάῳ Ἀλεξάνδρου βοεβόδᾳ, τῷ κατὰ πνεῦμα υἱῷ ἀγαπητῷ καὶ περιποθήτῳ τῆς ἡμῶν μετριότητος, καὶ τῇ αὐτόθι φιλοχρίστῳ τζάρᾳ, εὐηρέστησεν, ὡς εἰκός, τῇ αὐτοῦ ὑψηλότητι, διὰ τῆς πιστῆς καὶ προθύμου αὐτοῦ θεραπείας καὶ δουλεύσεως, ὥστε καὶ ἀσυδοσίᾳ τιμηθῆναι τῶν εἰθισμένων αὐτόθι πληροῦσθαι ὑπὸ τῶν ὑπηκόων δασμῶν καὶ συδόσεων, καὶ ἐλευθερωθῆναι πάσης λειτουργίας καὶ φορολογίας δι' ἐκλάμπρου καὶ αὐθεντικοῦ χρυσοβούλλου φιλοτιμηθέντος, καὶ ἐπιδωρηθέντος αὐτῷ ὑπὸ τῆς ἐκείνου ὑψηλότητος εἰς ἀμοιβὴν τῆς καλοκἀγαθίας αὐτοῦ καὶ πιστῆς θεραπείας · ἐν ᾧ χρυσοβούλλῳ διορίζονται καὶ περιέχονται ῥητῶς πάντα τὰ εἰς ἀσυδοσίαν παντελῆ καὶ ἐλευθερίαν παντὸς βάρους καὶ ἀπαιτήσεως εὐεργετηθέντα αὐτῷ προνόμια.

Βουλόμενος οὖν ὁ ῥηθεὶς κὺρ Πανταζῆς Πριμικήριος τὴν φιλοτιμηθεῖσαν ταύτην αὐτῷ ἐλευθερίαν καὶ ἀσυδοσίαν μένειν εἰς τὸ ἑξῆς ἀμετάθετον καὶ ἀμετακίνητον, ἐδεήθη τῆς ἡμῶν μετριότητος ἐπιβεβαιῶσαι αὐτὴν δι' ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος. Ὅθεν τὴν δέησιν αὐτοῦ ὡς εὔλογον καὶ δικαίαν εὐμενῶς ἀποδεξάμενος, γνώμῃ καὶ εἰδήσει τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου

πατριάρχου Ἱεροσολύμων, κυρίου κυρίου Χρυσάνθου, τοῦ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἀδελφοῦ, καὶ συλλειτουργοῦ ἡμῶν, γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα, τοῦ διαληφθέντος αὐθεντικοῦ καὶ ἐκλάμπρου χρυσοβούλλου ἔχειν ὀφείλοντος κατὰ πᾶσαν ἀνάγκην τὸ κῦρος καὶ τὴν ἰσχὺν ἀμετάθετον καὶ ἀμετακίνητον εἰς αἰῶνα τὸν ἅπαντα, ὁ ῥηθεὶς κὺρ Πανταζῆς Πριμικήριος ὑπάρχῃ ἀσύδοτος, ἀνενόχλητός τε καὶ ἀνεπηρέαστος, καὶ ἀκαταζήτητος παρὰ παντὸς προσώπου ἐν πᾶσι τοῖς εἰθισμένοις αὐτόθι δίδοσθαι φόροις τε καὶ συδόσεσι κατὰ τὴν περίληψιν τοῦ φιλοτιμηθέντος ὑπὸ τοῦ ἤδη εὐσεβεστάτου αὐθέντου χρυσοβούλλου καὶ εὐεργετηρίου γράμματος αὐτῷ εἰς ἀμοιβὴν τῆς ἧς πεποίηκε καὶ ἐφανέρωσε πιστῆς αὐτοῦ δουλεύσεως πρός τε τὴν αὐτοῦ ὑψηλότητα καὶ πρὸς τὴν αὐτόθι τζάραν Οὐγκροβλαχίας · καὶ μηδείς ποτε τῶν ἁπάντων τολμήσῃ ἐπηρεᾶσαι καὶ ἐνοχλῆσαι αὐτῷ καὶ ζητεῖν παρ' αὐτοῦ σύδοσιν πολλὴν ἢ ὀλίγην, ἀνατρέψαι τε καὶ ἀκυρῶσαι τὴν φιλοτιμηθεῖσαν αὐτῷ ἀσυδοσίαν, καὶ ἐλευθερίαν, καὶ ἄνεσιν δι' αὐθεντικοῦ χρυσοβούλλου · ὀψέ ποτε δ' ἄν τις ἐνόχλησιν οἱανοῦν αὐτῷ ἐμποιήσῃ ἀθετῶν τὰ ἐν τῷ παρόντι γεγραμμένα, ὁ τοιοῦτος, ὁποίας ἂν εἴη τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος εἴη παρὰ τῆς μακαρίας καὶ ἁγίας Τριάδος, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς, καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος, καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης.

Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν τῆς φιλοτιμηθείσης ἀσυδοσίας δι' αὐθεντικοῦ χρυσοβούλλου τῷ ῥηθέντι κὺρ Πανταζῇ, ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν ἐπιβεβαιωτήριον γράμμα καὶ ἐπεδόθη αὐτῷ.

ϛψκ'.

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου.)

137

Γράμμα περὶ τῆς ὑπὸ τῆς δομνίτζας Ἑλένης καὶ τοῦ Κιζύκου Αὐξεντίου υἱοθετήσεως τῆς κατὰ πνεῦμα θυγατρὸς αὐτῶν Ἑλένης.

1721 φεβρουαρίου 28.

Φρονήσεως ἄρα καὶ τόδε σημεῖον μέγιστον πέφυκεν, οὐ μόνον εἴ τίς τι τῶν ἀγαθῶν διαπράξαιτο καὶ εἰς πέρας ἄγοι τοὐγχείρημα, ἀλλὰ καὶ τῆς εἰσέπειτα φυλακῆς καὶ ἀσφαλείας καὶ σύντηρήσεως ἐκείνου προνοεῖν παντὶ σθένει καὶ μήδεσθαι, ῥύεσθαί τε ἐκεῖνο πάσης οἱασοῦν ἐπαγομένης κακώσεως, καὶ διασώζειν ἀνώτερον ἐπιβούλου χειρὸς καὶ χρονικῆς τινος περιστάσεως, πρὸς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν. Ἐπειδὴ τοιγαροῦν ὁ πανιερώτατος καὶ λογιώτατος μητροπολίτης τῆς ἁγιωτάτης μητροπόλεως Κιζύκου, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Ἑλλησπόντου, κύριος κὺρ Αὐξέντιος, καὶ ἡ ἐκλαμπροτάτη καὶ εὐγενεστάτη δομνίτζα κυρία Ἑλένη, θυγάτηρ τοῦ μακαρίτου αὐθέντου Ἠλιάσκου βόδα, ἐξ ἰδίας αὐτῶν καλοκαγαθίας καὶ θεαρέστου γνώμης κινούμενοι, τὴν κατὰ πνεῦμα θυγατέραν αὐτῶν Ἑλένην ὑπεξούσιον οὖσαν, οὐ μόνον ἰδίοις χρήμασιν ἐξηγόρασαν καὶ ἀπελευθέραν ἀφῆκαν, ἀλλ' ἔτι καὶ συμπαθείας νόμῳ καὶ πατρικῇ στοργῇ νικώμενοι, εἰσεποιήσαντο αὐτὴν, καὶ θετὴν αὐτῶν παῖδα ἐποίησαν, τῆς υἱοθετήσεως γενομένης κατὰ θεσμὸν καὶ πρέποντα καὶ δίκαιον, καὶ διὰ τελετῆς ἱερᾶς, τῶν μὲν εἰς γονέων τάξιν καθεστηκότων, τῆς δὲ εἰς τὴν τῆς παιδὸς οἰκείωσιν αὐτῆς συναφθείσης. Βουλόμενοι οὖν τὴν υἱοθεσίαν αὐτῶν ταύτην ἔχειν τὸ κῦρος καὶ τὴν ἰσχὺν βεβαίαν καὶ ἀμετάθετον, καὶ μετὰ θάνατον αὐτῶν, κατὰ τὴν τῶν ἱερῶν κανόνων καὶ θείων νόμων διάταξιν, ὥστε τὴν θετὴν αὐτῶν παῖδα ταύτην Ἑλένην ἔχειν τὰ δίκαια τῆς κληρονομίας ἐπ' αὐτῶν, μένειν τε ἀνενόχλητον καὶ ἀκαταζήτητον παρὰ τῶν συγγενῶν ἑκατέρων τῶν μερῶν τῆς τε αὐτοῦ πανιερότητος, καὶ τῆς αὐτῆς ἐκλαμπρότητος, περὶ ὧν ἂν φιλοτιμήσωνται καὶ δωρήσωνται αὐτῇ

ἐπὶ ζωῆς αὐτῶν, διορίζονται διὰ τοῦ παρόντος ἀμφότεροι οἱ υἱοποιησάμενοι αὐτὴν γονεῖς, καὶ ἀποφαίνονται ἰδίᾳ γνώμῃ καὶ τελείᾳ βουλῇ, ὡς ὅστις αὐτῶν προλαβὼν τὸ χρέος ἐκμετρήσοι, περιλειφθῇ δὲ ὁ ἕτερος τῶν γονέων, τὸν περιλειφθέντα ἔχειν τὴν ἐπίσκεψιν καὶ πρόνοιαν τῆς υἱοθετηθείσης αὐτῶν θυγατρὸς ταύτης Ἑλένης, ὡς νομίμου παιδὸς, μέχρι τοῦ ἐλθεῖν εἰς νόμιμον ἡλικίαν, καὶ ἐκδοῦναι ταύτην ἀνδρὶ μετὰ τῆς προσηκούσης προικοδοτήσεως, καὶ μηδένα τῶν συγγενῶν τοῦ ἀποθανόντος ἀντιποιεῖσθαι, ἢ τῆς θυγατρὸς αὐτῶν, ὡς δῆθεν ὑπεξουσίου, ἢ τῆς κατ' αὐτὴν ἐπισκέψεως, καὶ ἐπιμελείας, ἢ ὅλως τῶν φιλοτιμηθέντων καὶ δωρηθέντων αὐτῇ πραγμάτων τελείως ἅπτεσθαι, καὶ ζητεῖν ἀποσπᾶσαι αὐτὰ ἀπὸ τῆς θυγατρὸς αὐτῶν ταύτης, ἀλλ' ἢ μόνον τὸν καταλειφθέντα τῶν γονέων, εἴτε ἡ πανιερότης αὐτοῦ εἴη, εἴτε ἡ αὐτῆς ἐκλαμπρότης, ἔχειν τὴν φροντίδα καὶ ἐπιμέλειαν τῆς κυβερνήσεως αὐτῆς, καὶ τῶν κοινῶν προγονικῶν αὐτῆς πραγμάτων, οὐ μὴν ἀλλὰ καὶ μετὰ θάνατον ἀμφοτέρων τῶν γονέων, μηδένα τῶν συγγενῶν αὐτῶν, τοῦ τε πανιερωτάτου δηλαδὴ μητροπολίτου Κιζύκου, κὺρ Αὐξεντίου, καὶ τῆς ἐκλαμπροτάτης δομνίτζας κυρίας Ἑλένης ἀντιποιεῖσθαι τολμᾶν οἱῳδήτινι τρόπῳ, ἢ τῆς θετῆς παιδὸς αὐτῶν ταύτης Ἑλένης ὡς δῆθεν ὑπεξουσίου, ἢ τῶν φιλοτιμηθέντων καὶ δωρηθέντων αὐτῇ πραγμάτων ὑπ' ἀμφοτέρων τῶν γονέων, ὡς ἀνηκόντων δῆθεν αὐτοῖς κατὰ λόγον συγγενείας, ἢ ἄλλως πως ἐνοχλεῖν, καὶ ἐπηρεάζειν αὐτῇ τὸ σύνολον, καὶ ζητεῖν ἀποσπᾶσαι παρ' αὐτῆς πολὺ ἢ ὀλίγον πρᾶγμα δωρηθὲν καὶ καταλειφθὲν αὐτῇ ἀπὸ τῶν υἱοποιησαμένων γονέων αὐτῆς · τοῦτο γὰρ ὅλως παράνομον κρίνεται, ἐπεὶ, κατὰ τοὺς θείους νόμους καὶ κατὰ τὴν κς' Νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, οἱ υἱοθετηθέντες νομίμως λαμβάνουσι τὰ δίκαια τῆς κληρονομίας τῶν υἱοθετησάντων αὐτοὺς γονέων, καὶ γνήσιοι παῖδες λογίζονται, ὡς τῆς ἐξ υἱοθεσίας συγγενείας ἀπὸ θεοῦ καὶ διὰ θείων εὐχῶν τελετῆς συνισταμένης · τὴν δὲ πνευματικὴν συγγένειαν τιμιωτέραν εἶναι τῆς φυσικῆς καὶ σαρκικῆς, δηλοῦται σαφέστατα ἀπὸ τῶν θείων νόμων.

Τούτων οὖν οὕτως ἐχόντων, καὶ τοῦ τοιούτου διορισμοῦ, καὶ τῆς τῶν ὑπαρχόντων ἰδιοθελοῦς διαθέσεως ἀμφοτέρων τῶν ῥηθέντων γονέων τῆς αὐτοῦ πανιερότητος καὶ τῆς αὐτῆς ἐκλαμπρότητος, ἐχόντων τὸ κῦρος καὶ τὴν ἰσχὺν καὶ παρὰ τῶν θείων καὶ ἐκκλησιαστικῶν νόμων, κἀντεῦθεν κρατυνομένων, ὅστις ἂν τολμήσῃ τοῦ λοιποῦ τῶν συγγενῶν, ἢ τῆς αὐτοῦ πανιερότητος, ἢ τῆς αὐτῆς ἐκλαμπρότητος, μετὰ θάνατον ἢ ἑνὸς ἐξ αὐτῶν, ἢ καὶ ἀμφοτέρων, ἀνατρέψαι καὶ ἀνακυρῶσαι τὴν τοιαύτην αὐτῶν διάταξιν καὶ τὸν διορισμὸν περὶ τῶν ὑπαρχόντων αὐτῶν, δικαίαν οὖσαν, καὶ εὔλογον, καὶ νόμιμον, καὶ ἢ τῆσδε τῆς αὐτῶν παιδὸς Ἑλένης ὡς ὑπεξουσίου ἀντιποιεῖσθαι, καὶ ζητεῖν ἀποσπᾶσαι παρ' αὐτῆς οἱῳδήτινι τρόπῳ πολὺ ἢ ὀλίγον προγονικὸν πρᾶγμα, καὶ ἐνόχλησιν οἱανοῦν ἐμποιῆσαι αὐτῇ, ὁ τοιοῦτος ὁποῖος ἂν ᾖ, ἀφωρισμένος εἴη καὶ μετὰ θάνατον ἄλυτος, καὶ τὰ ἑξῆς. [Ἕπονται αἱ συνήθεις ἀραί.]

Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἐγένετο καὶ τὸ παρὸν, ἐπιβεβαιώσει τοῦ παναγιωτάτου καὶ τοῦ μακαριωτάτου, καὶ μαρτυρίᾳ χρησίμων καὶ ἀξιοπίστων προσώπων, κατασφαλισθὲν καὶ τῇ ἰδίᾳ ὑπογραφῇ ἀμφοτέρων τῶν γονέων, καὶ ἐπεδόθη τῇ θυγατρὶ αὐτῶν ταύτῃ Ἑλένῃ.

Ἐν Κωνσταντινουπόλει.

ᾳψκα', φεβρουαρίου κη'.

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου.)

138

Χρυσάνθου, πατριάρχου Ἱεροσολύμων, σιγιλλιῶδες γράμμα περὶ τῆς ἐν Μολδοβλαχίᾳ, ὑπὸ Γρηγοράσκου Γκίκα βοεβόδα, φροντιστηρίων ἀνεγέρσεως.

1728 σεπτεμβρ.

Χρύσανθος ἐλέῳ θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης.

Τῶν πρὸς θεοῦ τῷ βροτείῳ χορηγουμένων γένει κειμηλίων το

μάλιστα πάντων ὑπερανεστηκὸς, τὸ τῆς σοφίας καθέστηκεν. Αὕτη γὰρ οὐ μόνον αἰτία καὶ ἀρχὴ δι' ἧς τὰ πάντα ἃ μὲν ἐκ μὴ ὄντος, ἃ δὲ ἐκ τῶν δι' αὐτῆς προγεγονότων ἀνεκφράστῳ δυνάμει καὶ ἀρρήτῳ λόγῳ δεδημιούργηται καὶ συντηρεῖται, ἀλλά γε δὴ καὶ πηγὴ τυγχάνει οὖσα ἡ πᾶν ἀγαθὸν τοῖς ἀνθρώποις καὶ λυσιτελὲς ἐμπιστευομένη καὶ ἀεννάως βλύζουσα, ὡς δῆλον τῷ καὶ μικρὸν ἐπιστήσαντι καὶ λογικῆς δυνάμεως μὴ ἀμοιροῦντι · δι' αὐτῆς γὰρ οἱ νόμοι οἱ πρὸς τὴν τοῦ παντὸς σύστασίν τε καὶ οἰκονομίαν ξυμβάλλοντες συνέστησαν · αὐτοκρατορία τε καὶ ἡγεμονία, ἀριστοκρατία τε καὶ δημαρχία, ἀρχαί τε καὶ ἐξουσίαι, τάξεις τε καὶ εὐρυθμίαι, ἀρεταί τε πᾶσαι καὶ τέχναι, καὶ ἅπασα ἡ ἐν ἀνθρώποις εὐδαιμονία συνίσταται · δι' αὐτῆς ἔτι καὶ νοῦς ἅπας ὡσανεὶ θιγόμενός τε καὶ εὐθυνόμενος, μὴ μόνον τὰ ὑποπίπτοντα προσεχῶς αὐτῷ ἀντικείμενα αἰσθητὰ παρενείρειν πειρᾶται, ἀλλ' οὐχ ἥκιστα παραβύστῳ τινὶ τρόπῳ ἐνισχυόμενος, καὶ ὑπόπτερος γινόμενος, διά τε τῶν παρεμπιπτόντων οὐρανίων σωμάτων διϊκνούμενος, μέχρι καὶ αὐτοῦ τοῦ πρώτου κινοῦντος ἐφίπταται καὶ τὰς αὐτῶν κινήσεις συνελεύσεις τε, καὶ τὰ ἐξ αὐτῶν ἀποτελέσματα ὡς αὐτοῖς ὄμμασι θεώμενος ἀφηγεῖσθαι οὐκ ἐρυθριᾷ · τὸ δ' ὑπὲρ πᾶσαν ἔκπληξιν, ὅτι καὶ παρ' αὐτῷ τῷ τρισηλίῳ, ἀπροσίτῳ καὶ ἑνὶ τῇ φύσει θεῷ τολμῶντες προσίασιν ἄνθρωποι, ἄναρχόν τ' ἄκτιστον, δημιουργόν τε πανίσχυρον ὁρατῆς τε καὶ νοητῆς ἁπάσης κτίσεως ἐπιγνόντες, κηδεμόνα τε πάνσοφον ἀνυμνήσαντες, τήν τε θεοπρεπῆ προσκύνησιν καὶ λατρείαν αὐτῷ προσαπονέμοντες, ἐκεῖθεν πάνθ' ἅμα τ' ἀγαθὰ καὶ σωτήρια ἀπεκδέχονται · δι' αὐτῆς οἱ ἄνθρωποι ποικίλαις μηχαναῖς καὶ παντοδαπαῖς μεθόδοις διὰ πόντου καὶ ὑδάτων ὡς ἐπὶ γαίαν καὶ ξηρὰν περιϊέμενοι ὁδεύουσι · ταύτῃ αὐτοκρατορίαι καὶ ἡγεμονίαι ὡραϊζόμεναι, ἐπὶ μέγα δυνάμεως καὶ δόξης ἀφίκοντο · ταύτῃ ἀριστοκρατίαι καὶ πολιτεῖαι εὐθυνόμεναι, παντοδαπῶν κάλλει ἀρετῶν κεκόσμηνται · καὶ πόλεις καὶ κῶμαι διοικούμεναι ταῖς ταύτης ἀριπρεπέσι τάξεσι, λειμῶσιν ἄνθεσιν ἀειθαλλέσι καὶ ὀδμητικοῖς κεκοσμημένοις παρεικάζονται · αὕτη βασιλεῖς καὶ ἡγεμόνας τοὺς περὶ πολλοῦ ποιουμέ-

νους ταύτην ἀθανάτου εὐκλείας στέφει περιστέφεται, καὶ λήθης ἐπέκεινα ἀποκαθίστησιν · αὕτη τοὺς πρὸς τὴν μεθ' ἱδρώτων καὶ πόνων οὐ τῶν τυχόντων αὐτῆς κτῆσιν μὴ δυσχεράναντας, καὶ τῇ ταύτης μελέτῃ χρονοτριβήσαντας δι' εὐφήμου μνήμης ἄγεσθαι, καὶ ὡς ἐν σώματι ἀγγέλους ἐπὶ γῆς πολιτεύεσθαι ἀξιῶσαι ἐνίσχυσεν · αὕτη τοῖς πρὸ νόμου σπινθῆρσιν ἀψόφως ἀκτινοβολήσασα ἐν σκαιότητι ἀγωνίας ὑπάρχουσιν, ἕνα θεὸν ἐπιγνώσεσθαι, καὶ αὐτῷ ἐπακολουθῆσαι πεποίηκεν · αὕτη τὴν τῶν προφητῶν διάνοιαν, ταῖς παρ' αὐτῆς δαδουχίαις καταλαμπρύνασα, ἐπόπτας ὡς εἰπεῖν τῶν ἐπομένων ἀνέδειξεν · αὕτη τὴν τῶν ἀποστόλων θεοκήρυξιν ἐνστίλψασα, τοῦ πρὸ καταβολῆς τοῦ ξύμπαντος ἐπικεκαλυμμένου μυστηρίου μύστας τε καὶ μυσταγωγοὺς θαυμασίως τετελεσιούργηκε. Καὶ τί ἔτι προσφθεγξάμενος τῶν τοιούτων τοῦ σκοποῦ ἂν ἁμάρτοιμι; ὅπου γε καὶ τὸ κατ' ἐντολὴν τοῦ πνεύματος δοχεῖον, ἡ θεόπνευστος ἠχητικὴ σάλπιγξ, ὁ τῶν ἐθνῶν καὶ ἡμῶν διδάσκαλος, ὁ ἀπόστολος, φημί, Παῦλος, σοφοὺς ἡμᾶς γίνεσθαι παραινεῖ καὶ τῆς σοφίας ἀπρὶξ ἔχεσθαι, παρ' αὐτοῦ τοῦ σαρκωθέντος τὰς ἀρχὰς λαβὼν, τοῦ πρῶτον αὐτοὺς μαθητὰς, καὶ εἶτ' ἀποστόλους ἀποδείξαντος, τοῦτ' αὐτὸ βουληθέντος παραστῆσαι, ὅτι τὸ τῶν ἀνθρωπίνων σωστικώτατον καὶ θειότατον ἄκρον ἡ σοφία ἀποκεκλήρωται, δι' ἧς τά θ' ἱερὰ πάνθ' ἅμα καὶ πολιτικὰ εὐκοσμοῦνται, καὶ ἧς τινος ἄνευ τῶν ἀγαθῶν τι προσεπικτᾶσθαι ἀμήχανον, οὔθ' ὅλως φρονήσεως καὶ οἱασοῦν ἑτέρας εὐκρινοῦς γνώσεως ἐγκρατεῖς γενέσθαι, ἢ τὸ παράπαν προσάψασθαι · ἅτινα πάνθ' αὕτη μονονουχὶ φωνὴν οὐκ ἀφιεῖσα κέκραγε μετὰ ὑψηλοῦ κηρύγματος : « ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν, καὶ γνῶσιν, καὶ ἔννοιαν · ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην · δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι κρατοῦσι γῆς. » Αὕτη γὰρ, κατὰ τὸν σοφὸν Ἐκκλησιαστὴν, ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παρρησίαν ἄγει, ἐπ' ἄκρων τειχέων κηρύσσεται, ἐπὶ δὲ πύλαις δυναστῶν παρεδρεύει · ἐντεῦθεν οἱ ἄνθρωποι τῶν ἀρχαίων καὶ ἐσομένων εἰδήμονες ἀποκαθίστανται, στροφάς τε λόγων καὶ λύσεις

αἰνιγμάτων τεκμαίρονται · ἀμέλει τοι καὶ Σολομὼν δικαίως τὸν ταύτην ἐφευρόντα δι' εὐφήμου μνήμης ἀγαγεῖν καὶ διαρρήδην βοῆσαι οὐκ ὤκνησε φάσκων : « μακάριος ὁ ἄνθρωπος ὃς εὗρε σοφίαν. »

Ἐπεὶ οὖν ταύτης ἐπίβολοι καὶ ἐγκρατεῖς γενέσθαι ἄλλως ἀμήχανον, φροντιστηρίοις καὶ ἀκαδημίαις ἐνδιατρίψωμεν, ἐν αἷς ἡ τῶν γραμμάτων ἐμπειρία καὶ μάθησις ὡς ἄριστα ἐκδιδάσκεται, τὸ σωστικώτατον, φημί, τῶν παρῳχημένων, καὶ μονιμώτατον τῶν ἐν τῷ βίῳ. Ὅθεν ἡ τῶν ἱστοριῶν ἀκριβὴς διάγνωσις, ἡ τῶν νομικῶν διαταγή, ἡ τῶν ἐν παρεμβολαῖς ἐπιστήμη, ἡ τῶν ἐν διοικήσει ἀρχῆς εὐρυθμία, ἡ τῶν φυσικῶν, μηχανικῶν, γεωμετρικῶν, ναυτικῶν, ἀστρονομικῶν, καὶ πάντων τῶν κατὰ θεωρίαν καὶ πρᾶξιν τελουμένων ἐπίγνωσις τοῖς ἀνθρώποις ἐγγίνεται.

Ἐκ τούτων οἱ νέοι ἐκ πρώτης τοῦ ζῆν, ὅ φασι, γραμμῆς τὴν θεοσέβειαν μανθάνοντες, τὰ τῆς ὑγιοῦς πίστεως διαγινώσκουσι, καὶ τὰ αὐτῶν ἤθη κοσμοῦσι · δι' αὐτῶν Ἀθῆναι καὶ Ἑλλὰς ξύμπασα ἐπὶ μέγα εὐκλείας καὶ δόξης παρήλασεν · ἐφ' ὅσῳ γὰρ ταύτῃ γυμνάσια περιφανῆ καὶ ἀκαδημίαι ἤκμαζον, τοσούτῳ διατεθρυλλημένη παρὰ τοῖς τετραμερέσι τοῦ παντὸς ἐτύγχανεν, ὡς καὶ παροιμίαν παρ' ἕλλησι κεκρατηκέναι, τὸν μὴ ἕλληνα βάρβαρον ἀποφαίνουσαν · ἐξ ὅτου δὲ τούτων ἐστέρηται ζυγῷ δουλείας βαρυτάτῳ καὶ τυραννικωτάτῳ ὑποπεπτωκυῖα (κρίμασιν οἷς ὁ θεὸς μόνος οἶδε) δύστηνος καὶ ἀξία θρήνων ἀποκατέστη · τίς ἔτ' ἂν ἔγνω (εἰ ὅλως ὑπῆρχον) τοσούτους αὐτοκράτορας, βασιλεῖς, ἡγεμόνας τε ἀριθμῷ ἀπεριλήπτους, καὶ φιλοσόφους πολλῷ τῷ μέτρῳ ὑπερέχοντας, εἰ μὴ σχολαὶ καὶ ἀκαδημίαι ἀλλήλας διαδεχόμεναι τούτους διέσωζον; ἔνθεν τοι οἱ βαθέων φρενῶν πλουτοῦντες προστασίαν τε λαοῦ ἐμπιστευθέντες, τὰς αὐτῶν ἀρχὰς ἀνεγέρσεσιν ἀκαδημιῶν, καὶ φροντιστηρίων κάλλεσι τὰ πλεῖστα καὶ βαρυταλάντων δαπανημάτων κεκοσμημένας προείλοντο μᾶλλον, ἢ δευσοποιοῖς ἁλουργίσι, καὶ ἑτέραις ποικίλαις καὶ παντοδαπαῖς περιφανείαις ἐναμβρύνεσθαι, οὕς τινας καὶ ἡ Εὐρώπη σχεδὸν ἤδη ξύμπασα μιμησαμένη, φροντιστηρίων μεγέθεσι, καὶ ἀκαδημιῶν πολυδαιδάλων κάλλεσι καθωραϊσαμένη, ὡς

ἔμψυχόν τι τῶν ἀειθαλλῶν καὶ ὑψίκομον ἀναθάλλειν ὀπτάνεται, ἐφ' οὗπερ, ὡς ἐπὶ δώματος, αἱ τῶν μουσῶν νύμφαι ἱδρυόμεναι, τήν τε παναρμόνιον καὶ ἔμμελον φιλοσοφίαν προαναμέλπουσαι, ταῖς ἁπάντων ἀκοαῖς ἐνηχοῦσι.

Ταῦτά τοι καὶ ἐκ τούτων, ὧν ἡμεῖς, ὡς ἔφην, προσαπωλέσαμεν, ἐπὶ μέγα δόξης καὶ δυνάμεως οὗτοι ἀφίκοντο.

Ταῦτα τοίνυν καὶ τὰ τούτοις παραπλήσια, τά τε δηλονότι ἐκ τῆς ἀκηράτου σοφίας ἀναφυόμενα ἀγαθὰ, λυσιτελείας γε μὴν καὶ σωτηρίας πρόξενα μετὰ συνοχῆς καρδίας καὶ ὀρθοῦ λογισμοῦ διανοούμενος, καὶ ἀκριβῶς ἐπιστάμενος, καὶ τὰ ἐκ τῆς σκαιώδους ἀμαθείας χαλεπώτατα δεινὰ καὶ ἀνήκεστα δυστυχήματα ἀναλογισάμενος ὁ ἐλέει θείῳ ὑψηλότατος, θεοσεβέστατος, μεγαλοπρεπέστατος, καὶ περίβλεπτος αὐθέντης καὶ ἡγεμὼν πάσης Μολδοβλαχίας, ˙κύριος κύριος Ἰωάννης Γρηγοράσκος Γκίκα βοεβόδας, προνοίᾳ τινὶ θείᾳ, οὐρανίῳ ἐπιπνοίᾳ, ῥοπῇ τε καὶ νεύσει τῇ ἐκεῖθεν ἀνεκφράστῳ, οὐχ ἥκιστα οἰκείᾳ τε καὶ ἐμφύτῳ καλοκαγαθίᾳ παροτρυνθεὶς καὶ ὁδηγηθεὶς, ἔχων τε πρὸ ὀφθαλμῶν ἔμψυχον ὑπογραμμὸν καὶ ζῶσαν τῶν τοιούτων εἰκόνα τὸν ὑψηλότατον, σοφώτατον καὶ θεοσεβέστατον αὐθέντην καὶ ἡγεμόνα πάσης Οὐγκροβλαχίας, κύριον κύριον Ἰωάννην ΝΙΚΟΛΑΟΝ Ἀλεξάνδρου βοεβόδαν, τὸν ἐς τὰ μάλιστα σεβάσμιον τῆς αὐτοῦ ὑψηλότητος ἀπὸ μητρὸς θεῖον, τὸν μὴ μόνον τὴν ὑπὸ τὸ ὕψος τῆς αὐτοῦ θεοσεβείας φιλόχριστον τζάραν φροντιστηρίων κάλλει τε καὶ μεγέθει, καὶ ἀνέγερσιν ἑτέρων ἱερῶν καὶ περιφανῶν καθωραΐσαντα, οὐ μὴν ἀλλὰ καὶ πλείοσι τῆς πεπτωκυίας Ἑλλάδος κλίμασιν, αὐτῇ τε τῇ βασιλευούσῃ δαψιλῶς τε καὶ θεοσεβῶς σχολῶν προνοεῖσθαι οὐκ ὤκνησε · τῆς οὗπερ θεοσεβείας ὁ ῥηθεὶς ὑψηλότατος, θεοσεβέστατος καὶ ἀξιάγαστος ἡγεμὼν Μολδοβλαχίας ἔνθερμος ὀπαδὸς ἀναφανεὶς καὶ γενόμενος, οὐ μόνον τοῖς ὑπὸ τὴν φιλόχριστον τζάραν τῆς αὐτοῦ ὑψηλότητος διατελοῦσιν ὀρθοδόξοις, ἀλλὰ καὶ παντὶ τῷ χριστωνύμῳ πληρώματι βοήθειάν τινα καίριον διὰ τῆς τῶν ἀνεγηγερμένων ποτὲ σχολῶν παρὰ τοῦ ῥηθέντος σοφωτάτου θείου τῆς αὐτοῦ ὑψηλότητος, καὶ τῇ τοῦ χρόνου διαδοχῇ ἀμελείας

καὶ παροράσεως τῶν μετὰ ταῦτα πρωτευσάντων παροραθεισῶν, καὶ διόλου ἐξαφανισθεισῶν ἀποκαταστάσεώς τε καὶ ἀνανεώσεως ἐπενεγκεῖν διενοήθη · ὅν τινα τῆς αὐτοῦ θεοσεβείας θεῖον σκοπὸν καὶ τῇ ἡμετέρᾳ μετριότητι ἀνακοινώσας ἐν τῇ φιλοχρίστῳ αὐτοῦ τζάρᾳ τῇ τότε ἐνδημούσῃ χάριν τοῦ συνήθους ἐλέους τοῦ παναγίου καὶ ζωοδόχου Τάφου, οὐ μόνον ἐπῄνεσεν ὡς ἐπωφελέστατον καὶ θειότατον, ἀλλὰ καὶ εὐχαῖς τε καὶ εὐλογίαις ἐπέρρωσεν · ἀνθ' ὅτου τὸν πατέρα τῶν φώτων (ἐξ οὗ πᾶσα πατριὰ καὶ ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, καὶ οὗ ἄνευ ἀγαθοῦ τινος πράκτορας γενέσθαι ἀμήχανον) ἐνθέρμως καὶ ἀπὸ καρδίας ἐπικαλεσάμενος, εὔλογον, προσῆκον, ὀνήσιμον, καὶ ἐπωφελὲς λίαν νουνεχῶς ἔκρινε σχολὰς ἀποκαταστῆναι τέσσαρας · τὰς μὲν δύο πρὸς τὴν τῆς ἑλληνικῆς διαλέκτου ἄσκησίν τε καὶ ἐπίκτησιν · τὰς δ' ἑτέρας δύο πρὸς τὴν τῆς σλοβανικῆς καὶ μολδαβικῆς.

Ἐν μὲν οὖν ταῖς διὰ τὴν ἑλληνίδα διορισθείσαις δύο σχολαῖς παραδίδοσθαι ἐν ἀμφοτέραις ἑλληνικὰ μαθήματα ἀπ' ἀρχῆς τῆς γραμματικῆς μέχρι πέρατος καὶ ἀπαρτισμοῦ τῶν φιλοσοφικῶν, ἅπαντα βαθμηδὸν καὶ ἀσυγχύτως, ἀπαιτουμένῃ εὐρυθμίᾳ, παραδόσει τε καὶ τάξει προσηκούσῃ, οὐχ ἥκιστα καὶ ἐπιμελείᾳ οὐ τῇ τυχούσῃ.

Ἐν δὲ τῇ τρίτῃ σχολῇ παραδίδοσθαι τὰ πρῶτα στοιχεῖα τῆς μολδαβικῆς ἢ κρεῖττον εἰπεῖν τῆς σλοβανικῆς διαλέκτου μετ' ἀκριβείας, καὶ καθεξῆς τὰ λοιπὰ ἐκκλησιαστικὰ βιβλία · ὀφείλει δὲ ὁ αὐτὸς διδάσκαλος ἀσκεῖν τοὺς αὐτοῦ μαθητὰς καλλιγραφίαν.

Εἰς δὲ τὴν τετάρτην καὶ τελευταίαν διδάσκεσθαι ἐπιμελῶς τὴν σλοβανικὴν γραμματικὴν καὶ τὰ λοιπὰ ἀναγκαῖα μαθήματα εἰς κατανόησιν καὶ μεθερμήνευσιν τῆς βαθυτέρας σλοβανικῆς διαλέκτου.

Πρὸς τούτοις δὲ νομίζουσα νουνεχῶς ἡ αὐτοῦ θεοσέβεια, ὅτι καὶ τὴν ἁγίαν Ἱερουσαλὴμ χρὴ παρὰ πάντων τῶν ἐπ' εὐσεβείᾳ σεμνυνομένων βοηθείας πάσης ἡστινοσοῦν καὶ κηδεμονίας ἀξιοῦσθαι, ὡς μητέρα διατελοῦσαν πασῶν τῶν ἁγίων ἐκκλησιῶν, ἐδικαίωσε προστεθῆναι βοήθειάν τινα ἐλέους κἀν ταῖς ἐκεῖσε εὑρισκομέναις

ἑλληνικαῖς σχολαῖς καὶ ἀραβικαῖς. Ἕνεκα δὲ τῆς τούτων ἁπασῶν συστάσεώς τε καὶ διαμονῆς διωρίσατο παρέχεσθαι ἀνὰ πᾶν ἔτος γρόσια ἑξακόσια · χορηγεῖσθαι δὲ ταῦτα γνώμῃ καὶ σκέψει κοινῇ τοῦ τε πανιερωτάτου καὶ θεοσεβεστάτου μητροπολίτου τῆς τζάρας ταύτης Μολδοβλαχίας κὺρ Γεωργίου, καὶ τῶν ὑπ' αὐτῷ διατελούντων θεοφιλεστάτων ἐπισκόπων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν τῆς ἡμῶν μετριότητος, καὶ τῶν τιμιωτάτων καὶ εὐγενεστάτων ἀρχόντων · ἅτινα παρέχειν ὅ τε κατὰ καιρὸν πανιερώτατος μητροπολίτης, οἵ τε θεοφιλέστατοι ἐπίσκοποι, καὶ οἱ κατὰ καιρὸν εὐγενέστατοι ἄρχοντες κατὰ τὴν παροῦσαν διατύπωσιν.

Ἐν πρώτοις ὁ πανιερώτατος μητροπολίτης, γρόσια πεντήκοντα · ὁ ἐπίσκοπος τοῦ Ῥωμάνου, γρόσια τεσσαράκοντα · ὁ ἐπίσκοπος τοῦ Ῥαδαουτζίου, γρόσια τριάκοντα · ὁ ἐπίσκοπος Χουσίου, γρόσια τριάκοντα · ὁ μέγας λογοθέτης, γρόσια τριάκοντα · ὁ μέγας βόρνικος τῆς κάτω τζάρας, γρόσια εἴκοσι · ὁ μέγας βόρνικος τῆς ἄνω τζάρας, γρόσια εἴκοσι · ὁ χάτμανος, γρόσια τριάκοντα · ὁ μέγας ποστέλνικος, γρόσια τριάκοντα · ὁ μέγας σπαθάρης, γρόσια εἴκοσι · ὁ μέγας μπᾶνος, γρόσια εἴκοσι · ὁ μέγας παχάρνικος, γρόσια δέκα · ὁ μέγας βιστέρνικος, γρόσια τριάκοντα · ὁ μέγας στόλνικος, γρόσια δέκα · ὁ μέγας κόμισος, γρόσια εἴκοσι · ὁ μέγας κλουτζέρης, γρόσια εἴκοσι · ὁ μέγας σλουτζέρης, γρόσια εἴκοσι · ὁ σερδάρης γρόσια εἴκοσι · ὁ μέγας καμινάρης, γρόσια δέκα · ὁ ἄγας, γρόσια εἴκοσι · ὁ στάροστας Τζερναουτζίου, γρόσια εἴκοσι · ὁ στάροστας τῆς Πούτνας, γρόσια δέκα · οἱ πρεκαλᾶμοι τοῦ Γαλατζίου, γρόσια δεκαπέντε · οἱ βόρνικοι τοῦ Κουμπουλουγγίου, γρόσια δέκα · οἱ βόρνικοι τοῦ Μπουτεσανίου, γρόσια δέκα · οἱ λογοθέται τῆς βιστιαρίας μὲ τοὺς διάκους, γρόσια εἰκοσιπέντε · οἱ πραγματευταὶ τοῦ Γιασίου, γρόσια τριάκοντα. Ἐξ ὧν τὰ μὲν διακόσια δίδοσθαι τῷ πρώτῳ διδασκάλῳ τῆς ἑλληνικῆς σχολῆς, τὰ δὲ ἑκατὸν τῷ δευτέρῳ τῆς αὐτῆς ἑλληνικῆς σχολῆς · τῷ διδασκάλῳ τῆς μολδαβικῆς σχολῆς τῷ διορισθέντι διδάσκειν τὰ πρῶτα στοιχεῖα, καὶ οἷον εἰπεῖν τὰ κοινὰ γράμματα

ταύτης, γρόσια ἑξήκοντα · καὶ ἕτερα ὀγδοήκοντα τῷ διορισθέντι διδάσκειν τὴν σλοβανικὴν γραμματικὴν καὶ τὰ ταύτης ἑπόμενα · τῷ δὲ παναγίῳ Τάφῳ γρόσια ἑκατόν · τὰ δὲ περιττεύοντα τούτων δαπανᾶσθαι ἐν ἑτέραις χρείαις τῶν αὐτῶν σχολῶν καὶ ἐνδεῶν μαθητῶν.

Διωρίσθη δὲ ἡ μὲν ἀρχὴ τούτων τῶν φροντιστηρίων κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν εἰκοστὸν ὄγδοον ἔτος ἀπὸ Χριστοῦ, σεπτεμβρίου α΄ · ἡ δὲ πληρωμὴ τῶν διδασκάλων, ἡ μὲν ἡμίσεια ἐν τῷ ἡμίσει τοῦ ἔτους · ἡ δὲ λοιπὴ ἡμίσεια ἐν τῷ τέλει τοῦ αὐτοῦ ἔτους δίδοσθαι.

Ἐπὶ κρείττονι δὲ ἀσφαλείᾳ, ἐπιδόσει τε καὶ μονιμότητι τούτων ἁπάντων μετὰ παρακλήσεως τοῦ τε πανιερωτάτου μητροπολίτου, τῶν τε θεοφιλεστάτων ἐπισκόπων, καὶ τῶν περὶ αὐτὸν τιμίων καὶ εὐγενῶν ἀρχόντων προσεπιδιώρισεν ὁ ὑψηλότατος καὶ θεοσεβέστατος αὐθέντης ὅπως ἡ μετριότης ἡμῶν (καὶ οἱ μεθ' ἡμᾶς μακαριώτατοι πατριάρχαι τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ) ἀναδέξηται ὑπὸ τὴν δεφέντευσιν αὐτῆς τὰς ῥηθείσας ταύτας σχολὰς, ὅταν τύχῃ παροῦσα, ἀποῦσα δὲ διὰ τῶν αὐτῆς ἐπιτρόπων · καὶ προσέτι τόν τε κατὰ καιρὸν πανιερώτατον μητροπολίτην Μολδοβλαχίας καὶ ἕνα ἄρχοντα ἐκ τῶν πρώτων τῇ ἀξίᾳ καὶ τῷ βαθμῷ, τὸν κατὰ καιρὸν δηλαδὴ πρωτοβιστιάριον, συνεργούς τε καὶ συμπράκτορας · τὴν δὲ συναγωγὴν καὶ ἀπόληψιν τοῦ διορισθέντος μισθοῦ τῶν τῶν σχολῶν διδασκάλων διὰ φροντίδος ἔχειν κατὰ ἀπαραίτητον χρέος συνάγεσθαι παρά τε τῆς αὐτοῦ ὑψηλότητος καὶ τῶν μετ' αὐτὴν φιλοχρίστων ἡγεμόνων, καὶ δίδοσθαι εἰς χεῖρας τῶν ῥηθέντων ἐφόρων τῶν σχολῶν τούτων, τοῦ τε δηλαδὴ πανιερωτάτου μητροπολίτου, καὶ τοῦ εὐγενεστάτου ἄρχοντος πρωτοβιστιαρίου, τοῦ διανέμεσθαι τοῖς οἷς διωρίσθησαν · τὰ δὲ περὶ τοῦ παναγίου Τάφου διορισθέντα ἑκατὸν γρόσια παρέχεσθαι τῷ κατὰ καιρὸν ὁσιωτάτῳ καθηγουμένῳ τοῦ ἱεροῦ μοναστηρίου τοῦ Γαλατᾶ, εἰς τὸ ἐξαποστέλλειν αὐτὰ τῇ ἡμῶν μετριότητι καὶ τοῖς μεθ' ἡμᾶς μακαριωτάτοις πατριάρχαις τῆς ἁγίας πόλεως Ἱερουσαλήμ.

Πρὸς τούτοις, ἐπ' ἀμείνονι ἐπιδόσει καὶ περιθάλψει τῶν τε διδασκάλων καὶ μαθητῶν τῆς ἑλληνικῆς Σχολῆς, διώρισεν αὐτοῖς δύο ὑπηρέτας, ἀπάρην τε δηλαδὴ καὶ λεμνάρην, παντάπασιν ἀσυδότους, καὶ ἐλευθέρους ἡστινοσοῦν αὐθεντικῆς ὑπηρεσίας καὶ ἀγγαρείας, εἵνεκα ξυλοφορίας, καὶ ὑδροφορίας, καὶ ἑτέρων αὐτοῖς ἀναγκαίων διακονιῶν · ὡσαύτως τούς τε διδασκάλους καὶ μαθητὰς καὶ τῶν τεσσάρων τούτων σχολῶν ἀσυδότους καὶ ἀκαταζητήτους διατελεῖν. Ἐκ δὲ τῶν δύο διδασκάλων τῶν ἑλληνικῶν σχολῶν, ὡς ἀλλοδαπῶν ὄντων, τῷ μὲν πρώτῳ συγκεχώρηται ἔχειν ἄδειαν σοκοτίζειν (ἐγχωρίως εἰπεῖν) μελίσσια πεντήκοντα, μηδοτιοῦν περὶ τούτων ἀπαιτούμενον, τῷ δὲ δευτέρῳ τριάκοντα · ἅτινα πάντα ἡ αὐτοῦ θεοσέβεια καὶ αὐθεντικῷ χρυσοβούλλῳ ἐπεκύρωσέ τε καὶ κατησφάλισε κατὰ λεπτὸν μετὰ πλείστης ὅσης καὶ ζεούσης προθυμίας, ἐπ' ὠφελείᾳ τῶν τε ἐγχωρίων καὶ παρεπιδήμων χριστιανῶν βουλομένων ἀμισθὶ καὶ ἀδωροδοκήτως προσφοιτᾶν, γνώσεως, λόγου, καὶ παιδείας ἕνεκεν ἐν ταῖς εἰρημέναις σχολαῖς.

Ταῦτα οὖν καλῶς νουνεχῶς τε καὶ θεοσεβῶς εὐθετήσασα καὶ βεβαιώσασα ἡ αὐτοῦ ὑψηλότης ἐν ἰδίῳ, ὡς εἴρηται, αὐθεντικῷ χρυσοβούλλῳ γράμματι, ἐπὶ μείζονι βεβαιώσει καὶ ἀσφαλείᾳ ἐζητήθη καὶ γράμματι πατριαρχικῷ σιγιλλιώδει ἐπικυρωθῆναι.

Τούτου χάριν ἡ μετριότης ἡμῶν μετὰ τῶν παρευρεθέντων ἐνταῦθα ἁγίων ἀρχιερέων, τοῦ τε πανιερωτάτου δηλαδὴ μητροπολίτου κὺρ Γεωργίου, καὶ τῶν θεοφιλεστάτων ἐπισκόπων τῆς φιλοχρίστου ταύτης τζάρας Μολδοβλαχίας, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν τῆς ἡμῶν μετριότητος, τῇ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ πνεύματος γράφει ἐπιβεβαιοῦσα καὶ ἐπικυροῦσα τὴν τῶν ἱερῶν τούτων σχολῶν σύστασιν, καὶ ἐν αὐτῷ τῷ ἁγίῳ ἀποφαίνεται πνεύματι, ἵν' ὡς καλῶς καὶ θεοσεβῶς παρὰ τοῦ ὑψηλοτάτου, θεοσεβεστάτου καὶ φιλοχρίστου αὐθέντου καὶ ἡγεμόνος πάσης Μολδοβλαχίας, κυρίου κυρίου Ἰωάννου Γρηγοράσκου Γκίκα βοεβόδα, τοῦ ἐν ἁγίῳ πνεύματι υἱοῦ ἀγαπητοῦ καὶ περιποθήτου τῆς ἡμῶν μετριότητος, καὶ τοῦ παναγίου καὶ ζωοδόχου Τάφου ἄκρως ὑπερ-

ασπιστοῦ καὶ κηδεμόνος, ἐπ' ὠφελείᾳ τε καὶ λυσιτελείᾳ, ὡς εἴρηται, παντὸς τοῦ χριστωνύμου πληρώματος, ἐπιδόσει τε καὶ αὐξήσει τῆς κατὰ ψυχὴν τελειότητος, καὶ τῆς ἱερᾶς τῶν μαθημάτων ἀσκήσεως καὶ παιδείας διετάχθησαν, οὕτωσὶ καὶ τὸ κῦρος καὶ τὸ μόνιμον διηνεκὲς ἔχοιεν τῷ τοῦ θεοῦ ἀφθόνῳ ἐλέει εἰς αἰῶνα τὸν ἅπαντα, μέχρις οὗ ὁ διαυγέστατος φωστὴρ τῇ ἰδίᾳ αὐτοῦ κινήσει τὸν ζωδιακὸν περιτρέχει κύκλον, καὶ τῷ παντὶ συμπεριφέρεται.

Ὅστις δέ ποτε τρόπῳ πανούργῳ καὶ ἐθελοκακίᾳ ὑπούλῳ, ὑπὸ φθόνου, ἢ ἑτέρου τινὸς σατανικοῦ καὶ δαιμονιώδους πάθους ὀτρυνόμενος, ἢ γνώμης δολερᾶς καὶ κέρδους ὀλεθρίου κινούμενος, ἀνατροπήν τινα τῶν οὐ μόνον καλῶς καὶ νουνεχῶς, ἀλλὰ καὶ εὐσεβῶς λίαν διορισθέντων καὶ ἐγγραφέντων τῷ ἐκλάμπρῳ αὐθεντικῷ χρυσοβούλλῳ βουληθείη ποιήσασθαι, ἀμέσως ἢ ἐμμέσως, ἀναφανδὸν ἢ κρυφίως, κατ' εὐθεῖαν ἢ πλαγίως, ἢ κατὰ τὸ μέρος, ἢ κατὰ τὸ ὅλον, ἐν οἱῳδήποτε καιρῷ, καὶ οἱαδήποτε περιστάσει· καὶ προφάσει, ἢ ὁποιανδήτινα ἄλλην ἐπιβουλὴν κατὰ τῶν ἱερῶν τούτων σχολῶν μηχανευθείη, ἢ ὅλως διανοηθείη, ὁποῖος ἂν εἴη, καὶ ὁποίας τάξεως, καὶ βαθμοῦ, καὶ ἀξίας, ἢ δηλαδὴ τῶν κατὰ καιροὺς μετὰ ταῦτα ἡγεμόνων τῆς ἐνταῦθα θεοσεβοῦς ἡγεμονίας, ἢ τῶν ἐκ τοῦ ἱεροῦ καταλόγου ἢ τῶν τῆς κοσμικῆς πολιτείας, ἄρχων ἢ ἀρχόμενος, μέγας ἢ μικρὸς, ὁ τοιοῦτος, ὡς κακοπράγμων, παρόπτης τε καὶ φθορεὺς τῶν ἅπαξ τῷ θεῷ προσηλωθέντων καὶ ἀνακειμένων, ὡς ἐναντίος καὶ πολέμιος τῆς κοινῆς πάντων κατ' ἄμφω ὠφελείας, ὡς ἱερόσυλος καὶ μισάνθρωπος, καὶ, συνελόντι φάναι, ὡς αὐτῷ τῷ πανσόφῳ θεῷ, τῷ τῆς σοφίας καὶ παιδείας, καὶ πάντων τῶν ἀγαθῶν δοτῆρι καὶ χορηγῷ, καὶ πρὸς οὗ καὶ τὸ τοιοῦτον τοῖς ἀνθρώποις δώρημα καὶ εὐεργέτημα δωρεῖται, ἀντικείμενος, ἀφωρισμένος εἴη παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ἀδιαιρέτου Τριάδος, τοῦ ἑνὸς τῇ φύσει καὶ μόνου θεοῦ, κατηραμένος, ἀσυγχώρητος, καὶ μετὰ θάνατον ἄλυτος, καὶ τυμπανιαῖος, αἱ πέτραι, τὰ ξύλα καὶ ὁ σίδηρος λυθήσονται, αὐτὸς δὲ οὐδαμῶς · στένων καὶ τρέμων εἴη ἐπὶ τῆς γῆς ὡς ὁ ἀδελφοκτόνος Κάϊν, ἀποκήρυκτός τε καὶ ἀπόβλητος, ξένος τε

καὶ ἀλλότριος πάσης χριστιανικῆς ἐπωνυμίας καὶ ὁμηγύρεως · κληρονομήσειε τὴν λέπραν τοῦ Γιεζῆ, καὶ τὴν ἀγχόνην τοῦ προδότου Ἰούδα, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τῶν σταυρωσάντων τὸν κύριον · σχισθείη ἡ γῆ, καὶ καταπίοι αὐτὸν ὡς τὸν Δαθὰν καὶ Ἀβειρών · οἱ κόποι καὶ τὰ κτήματα αὐτοῦ εἴησαν εἰς ἐξολόθρευσιν καὶ παντελῆ ἀφανισμὸν, καὶ προκοπὴν θεοῦ οὐ μὴ ἴδοι ἐφ' ἧς ἐργάζεται πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Πρὸς τούτοις δὲ ἐχέτω καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ τῶν λοιπῶν ἱερῶν οἰκουμενικῶν συνόδων, καὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων · ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ ἐν γενεᾷ μιᾷ, καὶ τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου · ὑπεύθυνός τε τῷ αἰωνίῳ ἀναθέματι, καὶ ὑπόδικος τῷ ἀσβέστῳ πυρὶ καὶ ταῖς αἰωνίοις ποικίλαις βασάνοις. Ἐπὶ γὰρ τούτῳ καὶ τὸ παρὸν σιγιλλιῶδες ἡμέτερον πατριαρχικὸν γραφὲν χρυσόβουλλον γράμμα ἐπεδόθη ταῖς ἱεραῖς σχολαῖς εἰς μόνιμον, διηνεκῆ τε καὶ ἀδιάσειστον τὴν ἀσφάλειαν.

Ἐν Γιασίῳ αψκη', μηνὶ σεπτεμβρίῳ.

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου.)

139

Χρυσάνθου, πατριάρχου Ἱεροσολύμων, ἐπιστολὴ πρὸς τὸ ῥουφέτιον τῶν γουναράδων.

1728 νοεμβρίου 1.

Χρύσανθος, ἐλέῳ θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης.

Τιμιώτατοι πρωτομαίστορες καὶ προεστοὶ καὶ γέροντες τοῦ φιλοχρίστου ῥουφετίου τῶν γουναράδων, καὶ χρησιμώτατοι πραγματευταὶ, οἱ φέροντες ἐνταῦθα εἰς Βουκουρέστιον ζιντζάπια καὶ ἄλλα γουναρικὰ, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν, εἰρήνη, καὶ ἔλεος παρὰ θεοῦ, καὶ ἀπὸ τοῦ παναγίου καὶ ζωο-

δόχου Τάφου βοήθεια, ἁγιασμὸς καὶ ἐπίσκεψις, παρ' ἡμῶν δὲ εὐχὴ, εὐλογία καὶ συγχώρησις.

Τοῦ παρόντος τὸ αἴτιον πρὸς τὴν ὑμετέραν ἀγάπην πρῶτον μὲν εἶναι χάριν εὐχῆς, καὶ εὐλογίας, καὶ ὅ τι τοῦ ἁγίου θεοῦ ὑπὲρ ὑμῶν · καὶ δεύτερον ὅτι παλαιὰ συνήθεια ἐστάθη βεβαιουμένη καὶ ἐνεργουμένη εἰς ὅλας τὰς πολιτείας, ἀπὸ τὸ φιλόχριστόν σας ῥουφέτι, καὶ ἀπὸ τοὺς χρησιμωτάτους πραγματευτὰς, ὁποῦ φέρουσι καὶ πωλοῦν ζιντζάπια καὶ ἄλλα γουναρικὰ, νὰ κάμνουν καὶ μερίδιον τοῦ παναγίου καὶ ζωοδόχου Τάφου, διὰ εὐχὴν, εὐλογίαν, καὶ ἁγιασμὸν, καθὼς νομίζομεν νὰ τὸ ἠξεύρετε καὶ πολλοὶ ἀπὸ τὴν ἐντιμότητά σας, ἐπειδὴ καὶ ἐστάθη αὐτὴ ἡ καλὴ συνήθεια καὶ ἐδῶ πολὺν καιρόν · ὅμως ἀπὸ μερικοὺς χρόνους καὶ ἐδῶθεν ἔπαυσεν αὐτὴ ἡ εὐλογημένη θεοσεβὴς συνήθεια, καὶ τὸ αἴτιον δὲν ἠξεύρομεν, ἐπειδὴ καὶ εἰς ὅλας τὰς ἄλλας πολιτείας φυλάττεται.

Λοιπὸν τῶρα διὰ νὰ μὴ πέσωμεν καὶ ἡμεῖς ὁποῦ δὲν σᾶς τὸ ἐνθυμίζομεν εἰς ἁμαρτίαν, καὶ ἡ ἐντιμότης σας ὁποῦ λείπετε ἀπὸ τὸν τοιοῦτον μισθὸν, καὶ ἀπὸ τὴν καλὴν αὐτὴν ἀπόφασιν τῶν γονέων καὶ προγόνων σας, πάλιν σᾶς παρακαλοῦμεν νὰ τὴν ἀνακαινίσητε, καὶ νὰ ἀρχίσετε αὐτὸ τὸ καλὸν καὶ θεάρεστον κατόρθωμα, καὶ νὰ τὸ ἐνεργῆτε ὡς καὶ πρότερον. Καὶ ἡ μὲν ἐντιμότης σας, πραγματευταὶ, ὁποῦ φέρετε καὶ πωλεῖτε τὰ σιντζιάπια, νὰ δίδετε καὶ μερίδιον τοῦ παναγίου Τάφου εἰς τὰ χίλια σιντζιάπια ἀπὸ ἥμισυ γρόσι · ἡ δὲ ἐντιμότης σας, μαΐστορες ὁποῦ τὰ ἀγοράζετε καὶ τὰ δουλεύετε, νὰ δίδετε ὡσαύτως τῷ παναγίῳ Τάφῳ εἰς τὰ χίλια σιντζιάπια ἀπὸ ἥμισυ γρόσι, καὶ δὲν εἶναι πολὺ πρᾶγμα νὰ κάμετε, ὡς εἴπομεν, μερίδιον ὀλίγον τίποτε καὶ τοῦ παναγίου Τάφου, τουτέστιν, αὐτοῦ τοῦ δεσπότου Χριστοῦ, καὶ νὰ εἶστε βέβαιοι, πῶς θέλει σᾶς τὸ ἀνταποδώσῃ αὐτὸς ὁ δεσπότης Χριστὸς πολλαπλασίως, εὐλογῶντας καὶ πληθύνωντας τὰς πραγματείας σας καὶ τὰ ἔργα τῶν χειρῶν σας μὲ ἄλλους μυρίους τρόπους.

Ὅθεν ἰδοὺ ὁποῦ ἀποκαθιστῶμεν ἐπίτροπον εἰς τὴν ὑπηρεσίαν αὐτὴν τὸν τιμιώτατον καὶ χρησιμώτατον κιουρκτζήμπασην κυρίτζην

Διαμαντὴν, τὸν ἐν ἁγίῳ πνεύματι υἱὸν ἀγαπητὸν καὶ περιπόθητον τῆς ἡμῶν μετριότητος, ὡς τίμιον, εὐλαβῆ, καὶ προεστὸν τοῦ ῥουφετίου σας · καὶ λοιπὸν οὕτω νὰ τὸν γινώσκετε ἅπαντες, καὶ τὴν βοήθειαν αὐτὴν νὰ τὴν δίδετε εἰς χεῖρας τῆς ἐντιμότητός του χωρὶς κἀμίαν ἀμφιβολίαν, ὡσὰν νὰ τὴν ἐδίδετε καὶ εἰς χεῖρας ἡμῶν, καὶ ὄχι μὲ τίποτε βάρος, ἀλλὰ μὲ καλήν σας καρδίαν καὶ χαρὰν, καὶ νὰ ἔχετε ξεχωριστὰ καὶ δι' αὐτὴν τὴν βοήθειαν μνημόσυνα πλούσια εἰς τὸν πανάγιον καὶ ζωοδόχον Τάφον, καὶ τὰ λοιπὰ σεβάσμια προσκυνήματα τῆς ἐπιγείου ἁγίας Ἱερουσαλὴμ, καὶ τέλος, μετὰ βαθύτατον γῆρας, νὰ ἀπολαμβάνετε καὶ ἀθανάτους μισθοὺς ἐν τῇ ἄνω Ἱερουσαλὴμ, ἤτοι τῇ οὐρανίῳ βασιλείᾳ, παρὰ τοῦ ἁγίου θεοῦ. Οὕτως αὖθις παρακαλοῦμεν νὰ κάμετε, ἵνα καὶ ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὸ ἄπειρον αὐτοῦ ἔλεος, ἥ τε βοήθεια καὶ ὁ ἁγιασμὸς, καὶ ἡ ἐπίσκεψις τοῦ παναγίου καὶ ζωοδόχου Τάφου, καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ τῆς ἐντιμότητός σας ἐν βίῳ παντί.

ᾳψκη', νοεμβρίου α', ἐν Βουκουρεστίῳ.

(Ἐκ τοῦ 605 ἁγιοταφικοῦ χειρογράφου.)

DOCUMENTS DIVERS

EXTRAITS DES MANUSCRITS

DE

NICOLAS CRITIAS

1

Σχέδιον περὶ τῆς ἀσυλίας τοῦ ἐν τῇ Βλαχίᾳ σεβασμίου μοναστηρίου τῆς ἁγίας Τριάδος συντεθὲν παρὰ τοῦ λογιωτάτου διδασκάλου κυρίου κὺρ Κριτίου, δι' αἰτήσεως τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Χρυσάνθου.

Ἡ ἄβατος τοῦ θεοῦ περὶ τὸ ἀνθρώπινον γένος κηδεμονία, πρὸς ταῖς ἄλλαις εὐεργεσίαις καὶ χάρισι, καὶ τόπους ἱεροὺς καὶ ἀνειμένους εἰς τιμὴν καὶ λατρείαν αὐτοῦ ἔχειν ἐπὶ γῆς τοὺς ἀνθρώπους ἠξίωσεν ἄνωθεν. Εἰ γὰρ καὶ πανταχοῦ πάρεστι, καὶ τὰ πάντα πληροῖ, καὶ μηδαμοῦ ἐστι χωρητὸς, ὡς ἀπερίγραπτος τῇ φύσει καὶ τῇ οὐσίᾳ ἄπειρος, θρόνον τε ἔχειν τὸν οὐρανὸν καὶ ὑποπόδιον τὴν γῆν, ἥπερ γέγραπται, ἔμπης τῇ τοῦ πλάσματος ἀσθενείᾳ συγκαταβαίνων δι' ἰδίαν φιλανθρωπίαν καὶ ἀγαθότητα, ἐφ' ᾧ συναγαγεῖν ἐφελκύσασθαί τε καὶ οἰκειώσασθαι αὐτὸ ἑαυτῷ, ἔχειν ἐπὶ γῆς οἰκίαν καὶ τόπον ἀφωρισμένον εἰς δόξαν τῆς ἑαυτοῦ μεγαλειότητος εὐδόκησεν, οὐχ ὡς αὐτὸς χρῄζων τῆς παρ' αὐτῶν δόξης (ἀνενδεὴς γὰρ φύσει, καὶ πλήρης ἑαυτῷ, καὶ αὐτάρκης), ἀλλὰ τῆς δόξης μόνον καὶ σωτη-

ρίας τῶν ἀνθρώπων διὰ τούτου κηδόμενος · τοὺς γὰρ δοξάζοντάς με, φησί, δοξάσω · τοὺς δὴ τοιούτους ἱεροὺς τόπους τε καὶ οἴκους, ἄνωθεν διαταχθέντας καὶ εἰς λατρείαν καὶ δόξαν ἐξαιρεθέντας, πᾶσαν ἔχειν τιμὴν καὶ εὐλάβειαν ὑπὸ τῶν ἀνθρώπων ὡρίσατο, καὶ ἀσύλους τὸ παράπαν καὶ ἀνεπιβάτους εἶναι διέταξε, καθὼς ἔνεστι μαθεῖν ἀπό τε τῆς ἱερᾶς γραφῆς, καὶ ἀπὸ τῶν θύραθεν ἱστοριῶν Ἑλλήνων ἅμα τε καὶ βαρβάρων. Τῷ μὲν γὰρ θεόπτῃ Μωϋσῇ διαλεγόμενος ὁ θεός, « ἓξ πόλεις, φησίν, ἐξ ὧν δώσετε τοῖς λευῖταις κεχωρισμέναι ἔσονται εἰς βοήθειαν τῶν φευγόντων, καὶ φυγαδεῖον ἔσται τοῖς υἱοῖς Ἰσραὴλ, προσηλύτῳ τε καὶ παροίκῳ, φυγεῖν ἐκεῖ παντὶ πατάξαντι ψυχὴν ἀκουσίως. » Καὶ τὸ θυσιαστήριον δὲ καὶ ἡ σκηνὴ ἐν τῷ νόμῳ Μωσέως ὁμολογουμένως ὑπῆρχον ἄσυλα · τὰ δὲ ἔθνη καὶ οἱ ἐν αὐτοῖς βασιλεύσαντες, Ἕλληνές τε καὶ βάρβαροι, καίτοι τοῖς εἰδώλοις λατρευόντες, καὶ τῷ τῆς πίστεως φωτὶ μὴ ἐλλαμφθέντες, τοὺς παρ' αὐτοῖς νομιζομένους ναούς τε, καὶ βωμοὺς, καὶ ὅλως περιβόλους ἱεροὺς, καὶ ἄλση, καὶ νάπας ἀσυλίᾳ τετιμήκασι · καὶ πολλὰ πάλιν οὐ μόνον ἐν τῇ Ἑλλάδι ἦσαν τὰ ἄσυλα, ὡς παρὰ Παυσανίᾳ ἱστόρηται, ἀλλὰ καὶ ἀνὰ πᾶσαν σχεδὸν τὴν οἰκουμένην. Ῥωμύλος γὰρ ἐν Ῥώμῃ κατέστησεν ἄσυλον. Τῆς γὰρ πόλεως, ἣ φησι Πλούταρχος, τὴν πρώτην ἵδρυσιν λαμβανούσης, ἱερόν τι φύξιμον τοῖς ἀφισταμένοις κατασκευάσαντες καὶ τῇ τοῦ ἀσυλαίου θεοῦ προσηγορίᾳ τιμήσαντες, ἐδέχοντο πάντας τοὺς εἰς αὐτὸ καταφεύγοντας, οὔτε δεσπότῃ δοῦλον, θῆτα χρήσταις, οὔτ' ἄρχουσιν ἀνδροφόνον ἐκδιδόντες, ἀλλὰ μαντεύματι πυθοχρήστῳ πᾶσι βεβαιοῦν τὴν ἀσυλίαν φάσκοντες. Φέρεται δὲ καὶ Ἀγησίλαον τοὺς Ἀθηναίους μάχῃ καταγωνισάμενον, μηδεμίαν βίαν ἐπαγαγεῖν τοῖς καταφυγοῦσι τῷ τεμένει τῆς Ἀθηνᾶς, καὶ βαρβάροις ἐκστρατεύοντα μὴ δίκαιον εἶναι φάναι τοῖς ναοῖς αὐτῶν ἐπιέναι καὶ ἀφέλκεσθαι τοὺς καταφυγόντας, ὡς οὐχ ἧττον ὂν ἱεροσυλία ἀποσπᾶν τοὺς πρόσφυγας, καὶ ἱκέτας, καὶ διαμαρτυρομένους τὸν ἐν αὐτοῖς τιμώμενον θεὸν, τῆς τῶν ἀψύχων ἀναθημάτων ἁρπαγῆς καὶ ἀφαιρέσεως · κἂν ταῖς ἀναγραφαῖς τῶν ἐκκλησιαστικῶν ἱστοριῶν φέρεται Ἀλάριχον, τὸν Γότθων βασιλέα, βαρβαρικῷ ἐπελ-

θεῖν θράσει κατὰ τῆς Ῥώμης, καὶ πολιορκίᾳ παραστήσασθαι, τὰ μέν τοι ἐν αὐτῇ ἱερὰ ἀσυλίᾳ τετιμηκέναι, καὶ ἀνεπηρέαστα διασώζεσθαι, μάλιστα καὶ τοὺς πρόσφυγας τοῦ ναοῦ τῶν πρωτοκορυφαίων ἀποστόλων · σημεῖον δὲ τὸ παρὰ πᾶσι θρυλλούμενον, ὅτι Γότθον ἕνα τῶν παρ' αὐτῷ ἀρχόντων καὶ ἐν ἀξιώματι κειμήλι' ἄττα καὶ ἀναθήματα τοῦ εἰρημένου ναοῦ παρά τινι παρθένῳ ἀπόθετα βίᾳ λαβόντα καὶ προσκομίζοντα αὐτῷ, οὐ μόνον οὐκ ἀπεδέξατο, ἀλλὰ καὶ μετὰ πολλῆς προπομπῆς καὶ δορυφορίας ἀποκαταστῆσαι αὖθις ταῦτα προσέταξε, καὶ τὴν πόλιν ἅπασαν θριαμβεύουσαν ἔδειξε, τοσαῦτα πλουτήσασαν ἄσυλα, ὅσαι ἦσαν τῶν χριστιανῶν ἐν αὐτῇ ἐκκλησίαι. Ἀλλὰ καὶ Δημήτριος ὁ ἐν Αἰγύπτῳ βασιλεύων, καί τοι μὴ πιστεύων τῷ ἀληθεῖ θεῷ οὗ εἰς τιμὴν ὁ ἐν Ἱεροσολύμοις ναὸς ᾠκοδόμητο, περὶ τοῦ ναοῦ ὅμως τοιοῦτον νόμον ἐξέδοτο, ὡς ὅσοι ἂν φύγωσιν εἰς αὐτὸν καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ ὀφείλοντες βασιλικὰ καὶ πᾶν εἴ τι ἄλλο πρᾶγμα, ἀπολελύσθωσαν.

Τὴν γοῦν τοιαύτην τιμὴν καὶ ἀσυλίαν τῶν ἱερῶν, ἀπό τε τοῦ μωσαϊκοῦ νόμου διαταχθεῖσαν, καὶ ὑπὸ τῶν ἐθνῶν σχεδὸν ἁπάντων, εἰ καὶ μὴ μετὰ τῆς αὐτῆς ἐπιγνώσεως, διατηρηθεῖσαν, καὶ ἡ ἁγία τοῦ Χριστοῦ ἐκκλησία, καὶ οἱ τῶν χριστιανῶν ὀρθοδοξότατοι καὶ ἁγιώτατοι βασιλεῖς καὶ αὐτοκράτορες παραλαβόντες, καὶ διαδεξάμενοι ὡς ἔργον θεοφιλὲς καὶ θεάρεστον, καὶ τῆς περὶ ἡμᾶς τοῦ θεοῦ φιλανθρωπίας, καὶ ἀγάπης, καὶ τῆς αὐτοῦ δόξης, καὶ μεγαλειότητος ἐναργέστατον γνώρισμα κρείττονι καὶ ὑψηλοτέρῳ λόγῳ, καὶ μείζονι κατὰ πολὺ ὑπεροχῇ, καὶ ἀξίᾳ τετιμήκασι, καὶ συνεστήσαντο, καὶ τὰς ἁγίας ἐκκλησίας θεῖά τε σκηνώματα καὶ σεβάσμια μοναστήρια βασιλικοῖς θεσπίσμασι καὶ κανονικαῖς διατάξεσιν ἄσυλα, καὶ ἀνεπίβατα, καὶ ἀκαταπάτητα διόλου μένειν εὐσεβοφρόνως λίαν ἀπεφήναντο καὶ ἐνομοθέτησαν. Ῥητῶς καὶ γὰρ οἱ τῶν βασιλέων νόμοι φασί : « θεσπίζομεν μὴ ἐξεῖναί τινι τοὺς πρόσφυγας οἱασδήποτε τύχης ὄντας ἐκ τῆς ἁγίας ἐκκλησίας τῆς ὀρθοδόξου πίστεως ἐξεοῦν, καὶ τοὺς τἀναντία τολμήσοντας τῷ τῆς ἱεροσυλίας ἐγκλήματι ὑποβάλλεσθαι · οὐ μὴν δὲ, ἀλλὰ καὶ τὸ ὁροθέσιον τῆς τῶν ναῶν περι-

γράφοντες ἀσυλίας, μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς, φησὶν, ἐχέτωσαν οἱ προσφυγόντες. »

Συνῳδὰ τῇ βασιλικῇ διατάξει ταύτῃ καὶ οἱ τῆς ἐκκλησίας θεῖοι πατέρες τὴν τῶν ἱερῶν ἀσυλίαν συνοδικαῖς διαγνώσεσιν ἐψήφισαν, ἐξ ὧν οὐκ ὀλίγοι, καιροῦ καλοῦντος, μετὰ ζήλου διαπύρου καὶ γενναίας ἐνστάσεως ὑπὲρ αὐτῆς προκεκινδυνεύκασιν. Ὁ μὲν γὰρ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος περὶ τοῦ μεγάλου Βασιλείου, φησί : « γυναῖκά τινα χήραν τῶν ἐπιφανῶν ὑπὸ τοῦ συνέδρου τοῦ δικαστοῦ βιαζομένην πρὸς γάμον, καὶ τῇ ἐκκλησίᾳ καταφυγοῦσαν, μὴ ἀνασχέσθαι τὸν ἅγιον ὑβρισθῆναι τὸ θυσιαστήριον, μηδὲ προδοῦναι τὴν ἱκέτιν, αἰδοῖ τῶν νόμων τετιμηκότων ἀσυλίᾳ τὴν ἐκκλησίαν, ἀλλ' ἀντιστῆναι μέχρις αἵματος τῷ τυράννῳ, καὶ φυλάξαι τὴν πρόσφυγα ἀναφαίρετον. » Περὶ δὲ τοῦ Χρυσορρήμονος φέρεται ὅτι, ἐπὶ τῆς βασιλείας Ἀρκαδίου, διέποντος τοῦ ἁγίου τούτου τὸν θρόνον τῆς Κωνσταντινουπόλεως, ὁ τοῦ βασιλέως εὐνοῦχος Εὐτρόπιος καὶ ἄλλα τε πολλὰ δεινὰ κατεργασάμενος, τελευταῖον καὶ εἰς ὕβριν τοῦ ἁγίου δόγμα ἀνόσιον ἐξενεχθῆναι παρὰ τοῦ βασιλέως, διεπράξατο μὲν τὴν τῶν ναῶν ἀναιροῦν ἀσυλίαν, μετὰ μικρὸν δὲ αὐτὸς πάλιν τοῦ πονηροῦ δόγματος ἀπετρύγησε τὸν καρπὸν, ὀργὴν γὰρ βασιλέως ὑπὸ τῆς θείας δίκης κατ' αὐτοῦ φερομένην ἐκκλίνων, καὶ εἰς ὃν ἐξύβρισε ναὸν τολμήσας καταφυγεῖν, ἀπεσπάσθη ἐκεῖθεν δικαίως, ἀποκλεισθείσης αὐτῷ τῆς τοῦ ἐλέους θύρας, ἣν τοῖς ἄλλοις ἀσεβῶς ἀπετείχισε · μετ' ἐκεῖνον δὲ ἀπεψηφίσθη, καὶ ἠπράκτησε τὸ ἀνόσιον ἐκεῖνο δόγμα, ἐπικυρωθείσης αὖθις τῆς τῶν ἱερῶν ἀσυλίας ἐπιμελείᾳ καὶ σπουδῇ τοῦ ἁγίου. Καὶ ἐπὶ μὲν τῆς βασιλείας Φωκᾶ, τὴν αὐγούσταν Κωνσταντίναν σὺν ταῖς τρισὶν θυγατράσιν αὐτῆς εἰς τὴν ἐκκλησίαν καταφυγοῦσαν ὁ μὲν βασιλεὺς ἐξελθεῖν ἐκέλευε, τοῦ δὲ πατριάρχου Κυριακοῦ οὐκ ἐπινεύοντος, ἀλλ' ἀνθισταμένου γενναίως, ὅρκων μεσιτείᾳ ἀσφαλείας δοθείσης τῷ πράγματι, ἐξάγονται τὰ γύναια τοῦ ναοῦ καὶ μοναστηρίῳ ἐγκλείονται.

Εἰ δέ ποτέ τινες, ἢ τῶν πάλαι ἢ τῶν μετέπειτα, ἐτόλμησαν ὀλιγωρῆσαι τῆς τῶν ναῶν ἀσυλίας, ἐπιβῆναί τε αὐτῶν, καὶ βίαν ἐπα-

γαγεῖν, ἀξίαν τὴν δίκην ἔδοσαν, παραυτίκα τῆς τοῦ θεοῦ ὀργῆς καὶ ἀγανακτήσεως πειραθέντες. Ἀναγινώσκεται γὰρ ἐν τῇ βίβλῳ τῶν Μακκαβαίων τὸν Ἡλιόδωρον, βουλόμενον λαβεῖν ἀπὸ τοῦ γαζοφυλακίου τοῦ ἐν Ἱεροσολύμοις ναοῦ τὸ ἐναποκείμενον χρυσίον, ἀθρόᾳ ἐπιστασίᾳ ἀγγέλου δεινῶς μαστιγωθῆναι παρὰ θεοῦ, καὶ εἰ μὴ ἔφθασε ταῖς τοῦ Ὀνίου ἀρχιερέως εὐχαῖς τὸν θεὸν ἐξιλεῶσαι, κἂν ἀπῴχετο τάχιον, ποινὴν ἐκτίσαι κατάλληλον τοῦ τολμήματος· καὶ ὀλίγῳ μετ' ἐκεῖνον Νικάνωρ ὑβρίσας εἰς τὸ αὐτὸ ἱερὸν, καὶ ἀπειλήσας, ἐὰν μὴ παραδοθῇ αὐτῷ ὁ Ἰούδας δέσμιος, τὸν οἶκον τοῦ θεοῦ εἰς πεδίον ποιῆσαι, καὶ κατασκάψαι τὸ θυσιαστήριον, τοῦ πολέμου ἐγένετο παρανάλωμα. Καὶ, ἵνα, τὰς παλαιὰς ἱστορίας ἀφέντες, ἐπὶ τὰς νέας τὸν λόγον τρέψωμεν, πολλῷ μείζονα καὶ τελειοτέραν εὑρίσκομεν τὴν τιμὴν καὶ τὸ σέβας τῆς τῶν ἱερῶν ἀσυλίας. Πολλοὶ γὰρ ἐπὶ τῶν εὐσεβῶν ἡμῶν βασιλέων τῷ τῆς καθοσιώσεως ὑποπεσόντες ἐγκλήματι, καὶ διὰ τὸ φθάσαι εἰς ἱεροὺς ναοὺς εἰσελθεῖν, καὶ ἅψασθαι τῆς ἁγίας τραπέζης, οὐκ ἔτι ἀποσπασθέντες, οὐδὲ ἀφελκυσθέντες ἐκεῖθεν βιαίως, τοσαύτη τις ἦν ἡ τιμὴ καὶ αἰδὼς τῶν ὀρθοδόξων αὐτοκρατόρων περὶ τὰ θεῖα τεμένη. Τοὺς δ' ἀπεναντίας τούτοις προσενεχθέντας τῷ πράγματι, καὶ ὕβριν τοῖς ἱεροῖς τετολμηκότας μέχρι τοῦ νῦν καὶ εἰς αἰῶνας καταγινωσκομένους ἀσεβείας παρὰ πάντων ἀκούομεν. Καὶ γὰρ ὁ ἱερὸς Αὐγουστῖνος ἐν τῇ ἕκτῃ αὐτοῦ ἐπιστολῇ δεινῶς ἐλέγχει τὸν Βονιφάτιον, κόμητα ὄντα μετὰ Γότθων ἐν Ἀφρικῇ, ὅτι τὸν στρατηγὸν προσφυγόντα τῇ ἐκκλησίᾳ βίᾳ ἑλκυσθῆναι ἐκέλευσε, καὶ μετὰ τοὺς μακροὺς πρὸς ἐκεῖνον ἐλέγχους φησίν: « Εἶτα εἰ σὸς δραπέτης ἦν, ἔτυχεν ἂν συγγνώμης τῶν σῶν τινὸς μεσιτεύοντος φίλων· εἰ οὖν φίλον τιμᾷς, τί τὸν θεὸν ὑβρίζεις; εἰ δὲ τῇ δυνάμει θαρρῶν, εἰς ἀπόνοιαν ἄγῃ, βλέψον εἰς Ναβουχοδονόσορα τὸν βασιλέα δι' ἔπαρσιν εἰς βοῦν μεταμορφωθέντα » · καὶ μετ' ὀλίγα : « ἀπόδος τοιγαροῦν ἀβλαβῆ τῇ ἐκκλησίᾳ ὃν ὡς ἀνόσιος ἥρπασας · εἰ δὲ μὴ, ἐκκήρυκτόν σε τοῦ κλήρου καθίστημι, καὶ ἀκοινώνητον ἔχω, ἕως οὗ διορθώσας μετανοίᾳ τὸ ἁμάρτημα, συντριβῇ καὶ ταπεινώσει καρδίας, ἀξίαν προσε-

νέγκῃς θυσίαν θεῷ. » Κἀν τῷ βίῳ τοῦ ἁγίου Μαρκέλλου ἱστόρηται ὅτι Ἄσπαρ καὶ Ἀρδαβούριος, Ἰωάννην τινὰ ἐπιζητοῦντες τῇ τοῦ ἁγίου καταφυγόντα μονῇ, ἔπεμψαν στρατιώτας βίᾳ αὐτὸν ἐκεῖθεν ἑλκύσοντας, ἀλλὰ τῇ τοῦ ἁγίου εὐχῇ κεραυνοῦ κατενεχθέντος ἐπὶ τοὺς στρατιώτας, ὁ θηριώδης Ἀρδαβούριος ἐκπλαγεὶς, καὶ φόβῳ πολλῷ συσχεθεὶς, τοῦ Ἰωάννου ἀπέσχετο. Ἐξ οὗ δὴ θαύματος λέγουσι κινηθέντα τὸν σοφὸν βασιλέα Λέοντα ἐν τῷ αὐτῷ ἔτει ἐξενεγκεῖν τὸ περὶ τῆς τῶν ναῶν ἀσυλίας ἱερὸν θέσπισμα · ᾧ τινι συστοιχοῦντες καὶ κατὰ πόδας ἑπόμενοι, οὐ μόνον οἱ τῶν Ῥωμαίων, ἀλλὰ καὶ οἱ τῶν Μόσχων ὀρθόδοξοι βασιλεῖς ἐπὶ τοσοῦτον διετέλεσαν ἄνωθεν σεβόμενοι καὶ τιμῶντες τὴν τῶν ἱερῶν ἀσυλίαν, ὡς μηδ' εἰς αὐτὰ τὰ τῶν ἐκκλησιῶν προαύλια ἱππεῖς εἰσιέναι.

Τούτων τοιγαροῦν τὴν εὐσέβειαν, καὶ τὸν ἔνθεον ζῆλον, καὶ τὴν ἄκραν περὶ τὰ θεῖα εὐλάβειαν, καὶ τιμὴν, καὶ αἰδῶ εἰς τὰς τοῦ θεοῦ ἐκκλησίας, καὶ θεῖα σκηνώματα, καὶ σεβάσμια μοναστήρια μιμούμενος καὶ ὁ ὑψηλότατος, εὐσεβέστατος, σοφώτατος, καὶ ἀξιάγαστος αὐθέντης καὶ ἡγεμὼν πάσης Οὐγγροβλαχίας, κύριος κύριος Νικόλαος βοεβόνδας, οἷα δὴ ἐξ ἁπαλῶν ὀνύχων οὐ μόνον τῷ τῆς πίστεως θώρακι πεφραγμένος, καὶ τοῖς ἱεροῖς δόγμασι τῆς ἀμωμήτου πίστεως ἡμῶν ἐντεθραμμένος, ἀλλὰ καὶ σοφίαν πλουτήσας τὴν ἔνθεον, καὶ τὸν τοῦ θεοῦ φόβον ἔχων ἐγκάρδιον, καὶ μόνος ἐν τῷ καθ' ἡμᾶς τούτῳ αἰῶνι στήλη λαμπρὰ, καὶ εἰκὼν, καὶ παράδειγμα τῆς εὐσεβείας, καὶ πάσης ἀρετῆς, καὶ δόξης, καὶ τελειότητος, ἔν τε θεωρίᾳ καὶ πράξει, δι' ὧν ὁ χριστιανικὸς καθαρίζεται βίος, πᾶσι τοῖς εὐσεβέσι καὶ ὀρθοδόξοις προκείμενος, καὶ πάντα μὲν ὅσα ἡ ἱερὰ ἁγιστεία πρεσβεύει διαφερόντως τιμῶν καὶ ἀποδεχόμενος, μάλιστα δὲ περὶ τὰ ἱερὰ τεμένη ἐξαίρετον εὐλάβειαν ἐνδεικνύμενος, θείῳ ζήλῳ κεκινημένος, ἀνήγειρε καὶ ἀνῳκοδόμησε πρὸ ὀλίγου ἤδη καιροῦ ἐκ βάθρων καὶ θεμελίων ἱερὸν καὶ σεβάσμιον καὶ τῷ ὄντι ἀξιάγαστον μοναστήριον ἐν τῇ θεόθεν ἐπιβραβευθείσῃ αὐτῷ αὐθεντίᾳ Οὐγγροβλαχίας, κατὰ τὴν τοποθεσίαν Βακαρεστίου, τιμώμενον ἐπ' ὀνόματι τῆς προσκυνητῆς καὶ μακαρίας ἁγίας Τριάδος, καὶ κατεκόσμησε καὶ

κατεπλούτησεν αὐτὸ οὐ μόνον κάλλει τε καὶ μεγέθει ἐξαισίου οἰκοδομῆς, οἵαν οὐδὲ ἔστι ῥᾳδίως εὑρεῖν ἐν πᾶσι τοῖς τῶν Μυσῶν καὶ τῆς Δακίας ὁρίοις, ἀναθήμασί τε καὶ ἀφιερώμασι, καὶ κειμηλίοις λαμπροῖς, προσόδων τε χορηγίᾳ καὶ πάσῃ ἄλλῃ ἀφθόνῳ παρασκευῇ τε καὶ συγκροτήσει καὶ διατυπώσει λελογισμένῃ καὶ ἔμφρονι, ὁπόσῃ συμβάλλεται τῇ ἀρίστῃ αὐτοῦ διεξαγωγῇ καὶ ἐπαινετῇ καταστάσει, μονίμῳ τε καὶ διηνεκεῖ, καὶ τῷ αἰῶνι παντὶ φιλονεικούσῃ, καὶ συνεκτεινομένῃ συστάσει, καὶ τὸν μοναδικὸν τῆς ἀσκήσεως βίον κάλλιστα συγκροτεῖ, καὶ τὰς χρείας τῶν ἐνασκουμένων δαψιλῶς ἐκπληροῖ, καὶ πρὸς τὴν οὐράνιον πολιτείαν ἀναπτεροῖ, καὶ μετὰ τὸ ἀπαρτίσαι καὶ συντελέσαι καὶ διακοσμῆσαι, θεοῦ συναιρομένου, ὡς οἷόν τε κάλλιστα καὶ ἀνεπιδεῶς τὴν σεβασμίαν ταύτην μονὴν, ἀφιερώσατο καὶ ἐπαφῆκεν αὐτὴν τῷ παναγίῳ καὶ ζωοδόχῳ Τάφῳ τοῦ κυρίου διὰ ψυχικὴν αὐτοῦ σωτηρίαν, καὶ μνημόσυνον ἀκατάπαυστον καὶ αἰώνιον · κατιδὼν μέν τοι ἄτοπόν τινα καὶ ἔκφυλον συνήθειαν ἐπικρατήσασαν πάλαι καὶ ἐμφιλοχωροῦσαν ἐν Μυσοῖς, ἄθεσμον τῷ ὄντι καὶ ἐναντίαν τῇ ἐκκλησιαστικῇ καὶ χριστιανικῇ τάξει καὶ καταστάσει, οὐκ οἴδαμεν πόθεν ἀρχὴν λαβοῦσαν, καὶ κακῶς ἄνωθεν ἐκεῖσε ἐπεισκωμάσασαν (τὰ γὰρ ἱερὰ μοναστήρια, καὶ τοὺς ἀφιερωμένους τῷ θεῷ τόπους, εἱρκτὰς καὶ δεσμωτήρια ποιεῖσθαι τῶν καταδίκων εἰώθασι, καὶ τοῖς ἱεροῖς ὡς βεβήλοις χρῆσθαι, ἐμβάλλειν τε, καὶ εἱργνύειν, καὶ περιορίζειν ἐν αὐτοῖς τοὺς δι' ὁτιοῦν ἁμάρτημα ὑπευθύνους), καὶ μὴ ἀνεχομένη ἡ ὑψηλότης αὐτοῦ τὴν πονηρὰν ταύτην, καὶ τοῖς ἱεροῖς νόμοις, καὶ τῇ τῶν χριστιανῶν ἐπαγγελίᾳ ἀντιμαχομένην συνήθειαν εἰσφθαρῆναι, καὶ παρεισδῦσαί ποτε ἐπὶ τῶν διαδεξομένων τὴν ἡγεμονίαν αὐτὴν, κἀν τῷ ῥηθέντι σεβασμίῳ μοναστηρίῳ, τῷ εἰς δόξαν θεοῦ καὶ πάσης ἀρετῆς, καὶ βίου θεοφιλοῦς ὑποτύπωσιν καὶ ὑπογραμμὸν ὑπ' αὐτοῦ ἀνεγηγερμένῳ, ἐπιμελῶς τε καὶ φιλοπόνως κεκοσμημένῳ, ἅτε δὴ μὴ μόνον τῆς ἔν γε τῷ παρόντι καλῆς οἰκονομίας, ἀλλὰ καὶ τῆς εἰς τὸ μέλλον ἀρίστης διεξαγωγῆς, καὶ ἀμέμπτου καταστάσεως αὐτοῦ ποιούμενος πρόνοιαν, καὶ φροντίζων ἐμμελῶς ὅπως μὴ στερίσκοιτο πώποτε τῆς καθηκούσης καὶ

νενομισμένης τιμῆς, καὶ αἰδοῦς, καὶ εὐλαβείας τοῖς θείοις σκηνώμασι καὶ ἐνδιαιτήμασι, δεῖν ἔγνω πρόρριζον ἀνασπᾶσαι, καὶ μακρὰν ἀπελᾶσαι τῆς ἱερᾶς ταύτης μονῆς τὸ πονηρὸν τοῦτο καὶ τῇ εὐσεβείᾳ ἀπᾷδον ἔθος.

Κἀντεῦθεν τῷ θείῳ τούτῳ σκοπῷ καὶ τῇ εὐσεβεῖ προθέσει τῇ ἑαυτοῦ εὑρὼν συναινοῦντα καὶ συνευφημοῦντα, καὶ πατρικῶς προτρέποντα καὶ συμπροθυμούμενον τὸν μακαριώτατον, ἁγιώτατον, καὶ σοφώτατον πατριάρχην τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, κύριον κύριον Χρύσανθον, ἄσυλον εἶναι διόλου τὸ ῥηθὲν σεβάσμιον μοναστήριον ὥρισε καὶ προσέταξε, καὶ πᾶσι τοῖς προνομίοις τῆς τῶν ναῶν ἀσυλίας, πάσης καὶ παντοίας βίας καὶ ἐπηρείας, βλάβης τε καὶ κακώσεως τοῦτο ἀπήλλαξεν, ἀποφηνάμενος μηδένα πώποτε τολμᾶν, οὔτε τῶν κατὰ καιροὺς ἐσομένων ἡγεμόνων, ἤ τινα τῶν ἀρχόντων καὶ ἐν ἀξιώμασιν ἐκκλησιαστικῷ ἢ πολιτικῷ βίᾳ τινὶ χρήσασθαι κατὰ τοῦ ῥηθέντος σεβασμίου μοναστηρίου, καὶ πέμπειν εἰς αὐτὸ ἐπὶ καθείρξει, καὶ περιορισμῷ, καὶ τιμωρίᾳ κατάδικον, ἢ ὅλως ὑπαίτιον, καὶ διὰ τῆς τοιαύτης ἐπηρείας βεβηλοῦν ἀνευλαβῶς καὶ ἀνυποστόλως τὸ ἅγιον θεοῦ οἰκητήριον · ἀλλ' οὐδὲ τοὺς φθάσαντας καταφυγεῖν εἰς αὐτὸ, ὡς εἰς ἱερὸν ἄσυλον ἐξ οἵας δηποτοῦν αἰτίας διωκομένους ἀνασπᾶσθαι, καὶ ἀφέλκεσθαι βίᾳ, ἀλλ' ἐᾶν αὐτοὺς μένειν ἔνδον ἀσφαλῶς ἄχρις ἂν λάβῃ διόρθωσιν τὸ ἁμάρτημα αὐτῶν καθ' ὁντιναοῦν τρόπον, καὶ τότε ἐξιέναι αὐτοὺς συγκεχωρημένους ἤδη καὶ ἐλευθέρους καὶ ἀνεπηρεάστους ὄντας τὸ σύνολον.

Τὴν γοῦν τοιαύτην φιλόθεον, καὶ φιλόχριστον, καὶ εὐσεβείας πολλῆς, εὐλαβείας θερμῆς καὶ θείου ζήλου γέμουσαν διάταξιν καὶ ἀπόφασιν τῆς αὐτοῦ ὑψηλότητος, κατοχυρωθεῖσαν δι' αὐθεντικοῦ αὐτοῦ χρυσοβούλλου θαυμάσαντες καὶ ἀγασθέντες καθ' ὑπερβολὴν, καὶ μετὰ πάσης εὐφημίας ἀποδεξάμενοι, ἀναγκαῖον ἐκρίναμεν καὶ γράμμασιν ἡμετέροις ἐκκλησιαστικοῖς κατασφαλίσασθαι εἰς μόνιμον, καὶ διηνεκῆ, καὶ ἀμετάθετον αὐτῆς φυλακὴν καὶ συντήρησιν. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα ἵνα ἡ διαληφθεῖσα ἱερὰ καὶ σεβασμία μονὴ, ἡ τιμωμένη ἐπ' ὀνόματι τῆς μακαρίας ἁγίας Τριάδος, καὶ κειμένη

κατὰ τὴν τοποθεσίαν Βακαρεστίου, ἐν τῇ αὐθεντείᾳ Οὐγγροβλαχίας, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μέχρι τερμάτων αἰῶνος εἴη καὶ διαμένῃ ἄσυλος πάντῃ, καὶ διόλου ἀνεπίβατός τε καὶ ἀνεπιχείρητος, καὶ ἀκαταπάτητος παρὰ παντὸς προσώπου, αὐθεντικοῦ τε καὶ ἀρχοντικοῦ, ἐκκλησιαστικοῦ τε καὶ πολιτικοῦ, κατὰ τὰ φιλοτιμηθέντα αὐτῇ προνόμια τῆς τελείας ἀσυλίας, ὑπὸ τοῦ εὐσεβεστάτου, ὑψηλοτάτου, καὶ σοφωτάτου αὐθέντου, καὶ ἡγεμόνος πάσης Οὐγγροβλαχίας, κυρίου κυρίου Νικολάου βοεβόνδα, τοῦ καὶ γνησίου κτίτορος αὐτῆς, καὶ μηδείς ποτε τολμήσῃ, ἢ κατάδικόν τινα καὶ ὑπεύθυνον ἐξ οἱασοῦν αἰτίας πέμπειν καὶ ἐμβάλλειν εἰς αὐτὸ, ὡς ἐπὶ εἱρκτῇ, καὶ φυλακῇ, καὶ περιορισμῷ, κολάσει τε καὶ τιμωρίᾳ, ἢ τὸν φθάσαντα καταφυγεῖν καὶ εἰσελθεῖν ἐν αὐτῷ δι' ἡντιναοῦν αἰτίαν διωκόμενον ἀποσπᾶσθαι, καὶ ἀφέλκεσθαι, καὶ ἐξωθεῖσθαι βίᾳ, ἀλλὰ μένειν ἔνδον ἀβλαβῆ μέχρι τῆς λύσεως καὶ διορθώσεως τοῦ ἁμαρτήματος καὶ τελείας ἀθωώσεως αὐτοῦ, καθ' ὃν ἂν ἐνδέχηται τρόπον, καὶ ἐξιόντα μένειν ἀνεπηρέαστον καὶ ἀνεύθυνον. Οὕτω παρακελευόμεθα, καὶ ἐν ἁγίῳ ἀποφαινόμεθα πνεύματι διασώζεσθαι, καὶ τιμᾶσθαι, καὶ γεραίρεσθαι τὴν ἀσυλίαν ταύτην, ὡς καὶ παρὰ θεοῦ διαταχθεῖσαν, καὶ νόμοις ἱεροῖς, καὶ εὐσεβῶν βασιλέων ψηφίσμασι βεβαιωθεῖσαν, καὶ παρὰ πάντων τῶν εὐσεβῶν χριστιανῶν μέχρι τοῦδε ἀποδοχῆς ἁπάσης καὶ τιμῆς ἀξιωθεῖσαν. Καὶ ὅσοι μὲν φυλάξουσι τὸν γεγονότα τοῦτον ὅρον καὶ τὴν διάταξιν περὶ τῆς ἀσυλίας τοῦ ῥηθέντος σεβασμίου μοναστηρίου τῆς ἁγίας Τριάδος, ὡς εὐλαβεῖς, καὶ φιλόθεοι, καὶ εὐσεβεῖς, καὶ ὀρθόδοξοι προσκυνηταὶ τῆς ἐν αὐτῷ τιμωμένης καὶ δοξαζομένης ἁγίας Τριάδος, εἴησαν συγκεχωρημένοι καὶ εὐλογημένοι παρὰ τοῦ τρισυποστάτου καὶ ἑνὸς τῇ φύσει μόνου θεοῦ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ ἔχοιεν τὰς εὐχὰς καὶ εὐλογίας πάντων τῶν ἁγίων καὶ θεοφόρων τῆς ἐκκλησίας πατέρων. Ὅς δ' ἄν τις ὀψέ ποτε ἀθετήσῃ, καὶ ἀνατρέψῃ τὸ τοιοῦτον θειότατον καὶ εὐσεβέστατον ψήφισμα καὶ δόγμα τῆς ἀσυλίας τοῦ εἰρημένου ναοῦ, καὶ παρὰ τὴν γενομένην διάταξιν τολμήσῃ ἐπιβῆναι αὐτοῦ, καὶ παραπατῆσαι, καὶ βεβηλῶσαι παρανόμως καὶ

ἀπονενοημένως τὴν ἱερὰν καὶ σεβασμίαν ταύτην μονὴν, ὁ τοιοῦτος, ὡς ἀνευλαβῶς περὶ τὰ θεῖα διακείμενος καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου θεοῦ, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ μετὰ θάνατον ἄλυτος ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς, καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος, καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης. Ὅθεν εἰς τὴν περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν καὶ σιγιλλιῶδες γράμμα καὶ ἐπεδόθη τῷ διαλεχθέντι ἱερῷ μοναστηρίῳ τῆς Ἁγίας Τριάδος, καταστρωθὲν καὶ ἐν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας.

(Κώδηξ δεύτερος Κριτίου, σελ. 703-711.)

2

Ἐπιστολὴ τοῦ πατρός μου πρὸς τὸν ἐν μακαρίᾳ τῇ λήξει πατριάρχην Ἱεροσολύμων Χρύσανθον, ζητήσαντα παρὰ τῆς αὐτοῦ σοφολογιότητος τὸ ὄπισθεν περὶ ἀσυλίας σχέδιον.

Ἀγκαλὰ πρὸ ἡμερῶν ἱκανῶν ἠξιώθην νὰ ἰδῶ ἱερὸν καὶ σεβάσμιον γράμμα τῆς ὑμετέρας μακαριότητος γεγραμμένον οὐ πρὸς ἐμὲ, ἀλλὰ πρὸς τὸν κὺρ Ἀλέξανδρον γραμματικὸν, διὰ μέσου τοῦ ὁποίου ἐδέχθην μεθ' ὅσης εὐλαβείας τὰς θεοπειθεῖς αὐτῆς εὐχὰς καὶ εὐλογίας, σὺν τούτοις δὲ καὶ τὸ ἱερὸν αὐτῆς πρόσταγμα περὶ τοῦ σχεδίου, πλὴν ἔκτοτε μέχρι τοῦ νῦν, σιωπηθέντος τοῦ πράγματος, ἐπειδὴ καὶ οὔτε δευτέρα προσταγὴ ἦλθε τῆς ὑμετέρας μακαριότητος εἰς ἀναζήτησιν τοῦ αὐτοῦ σχεδίου, ἀπὸ τὸ ὁποῖον ἐσυμπέραινεν ἡ λογιότης του ὅτι νὰ ἔπαυσε πλέον καὶ ἡ χρεία αὐτοῦ, οὔτε ὁ κὺρ Ἀλέξανδρος ἐδυνήθη νὰ κάμῃ τὴν ἀνάμνησιν ἀπὸ τὰς πολλὰς περιστάσεις καὶ ἐνοχλήσεις, ὁποῦ ἐν τῷ μεταξὺ τοῦ ἀκολούθησαν · καὶ ἐγὼ ὁμοίως ἀσχολούμενος εἰς τὰς καθημερινὰς καὶ ἀπαραιτήτους

ὑπουργίας, αἱ ὁποῖαι δὲν λανθάνουσι καὶ τὴν ὑμετέραν σεβάσμιον μακαριότητα αι..... ὁ καιρὸς ἕως τοῦδε ὑπ' ἀγνοίας μᾶλλον καὶ λήθης ἀκουσίου, ἢ ἀπὸ ῥαθυμίας. Τώρα δὲ κάμνοντάς μου ἀνάμνησιν ὁ κὺρ Ἀλέξανδρος, ἐλυπήθην μὲν καιρίως διὰ τὸ ἀκούσιον τοῦτο ἁμάρτημα ὁποῦ ἐφάνην βραδὺς καὶ νωθρὸς εἰς τὸ θεῖόν της πρόσταγμα, ἐπεβαλόμην δὲ κατὰ τάχος τῷ πράγματι, καὶ ἰδοὺ ὁποῦ τῷ στέλλω σχέδιον ὡς ἀληθῶς ἀτελὲς, καὶ ἐξ ἀτελοῦς διανοίας. Ἤθελα τολμήσει νὰ προφασισθῶ τὸ στενὸν τοῦ καιροῦ, τὰς πολλὰς ἀσχολίας, τὴν σωματικὴν ἀδυναμίαν καὶ τὰ συνήθη τῆς καταρροῆς πάθη, ὁποῦ εἴπέρ ποτε καὶ νῦν ἐνοχλοῦσί μοι, διὰ νὰ συγκαλύψω ὡς ὑπὸ παραπετάσμασί τισι τὰ ἐν τῷ συγγράμματι σφάλματα · ἀλλ' ἐπειδὴ αἱ τοιαῦται ἀπολογίαι δὲν ἰσχύουσι πρὸς τὴν πάνσοφον αὐτῆς κορυφὴν, μὲ τὸ νὰ γινώσκῃ καλῶς τὰ κατ' ἐμὲ, ὁμολογῶ τὴν ἀλήθειαν οὐδὲν ὑποστειλάμενος, ὅτι ἡ ἀμάθεια καὶ ἡ τοῦ λόγου πενία καὶ ἡ φυσικὴ ἀνεπιτηδειότης ἐνεπόδησαν καὶ δὲν ἀφῆκαν νὰ μένῃ καθὼς ἔπρεπε, καὶ καθὼς τὸ ἐζήτει καὶ ἡ ὑμετέρα μακαριότης.

Δέομαι λοιπὸν ἱκετικῶς τῆς πατρικῆς της φιλοστοργίας, καὶ διὰ τὸν παραδραμόντα καιρὸν κατὰ λήθην καὶ ἄγνοιαν, καὶ διὰ τὸ ἄτεχνον καὶ ἄκομψον τοῦ σχεδίου, νὰ μὲ ἀξιώσῃ συγγνώμης · τὸ μὲν ὡς ἀκούσιον, τὸ δὲ, διότι ἐπρόκρινα νὰ φανῶ εὐπειθὴς εἰς τὸ θεῖόν της πρόσταγμα μὲ τὸν ἔλεγχον τῆς ἀμαθείας μου, παρὰ νὰ δείξω ἀπείθειαν ἀποφεύγων τὴν μέμψιν. Ἂς τὸ δεχθῇ, παρακαλῶ, ὡσὰν μίαν πρόχειρον ὕλην, ἀγκαλὰ καὶ ἄκοσμον καὶ χωρὶς διάθεσιν εἰς μερικὰ συντείνοντα εἰς τὸν σκοπόν της, τὴν ὁποίαν καὶ ἂς καθαρίσῃ καὶ ἂς ἐπικοσμήσῃ μὲ τὴν ἄκραν της σύνεσιν, καὶ ἂς τὴν μεταχειρισθῇ εἰς τὴν ἐπιβάλλουσαν χρείαν, ἐμοὶ δὲ τῷ ἐλαχίστῳ αὐτῆς δούλῳ ἂς ἀντιπέμψῃ τὰς ἁγίας της εὐχὰς καὶ εὐλογίας, μὲ τὸ νὰ εὐδόκησεν ὁ θεὸς νὰ εὑρίσκεται κατὰ τὸ παρὸν ἡ ὑμετέρα σεβάσμιος μακαριότης ἐν Βλαχίᾳ, καὶ νὰ ἔχῃ τὴν αὐτοπρόσωπον ἀναστροφὴν καὶ ὁμιλίαν τοῦ ὑψηλοτάτου, εὐσεβεστάτου καὶ σοφωτάτου αὐθέντου καὶ ἡγεμόνος Οὐγγροβλαχίας κυρίου κυρίου Νικολάου βοεβόδα, ἐτόλμησα νὰ προσφέρω τῇ αὐτοῦ θεοσεβεστάτῃ ὑψηλότητι τὴν δου-

λικήν μου προσκύνησιν μὲ τὸ παρὸν εὐτελές μου γράμμα, ἐλπίζωντας τὴν ἐμὴν ἀναξιότητα καὶ εὐτέλειαν νὰ συστήσῃ ἡ πατρικὴ καὶ χριστομίμητός της φιλανθρωπία. Αἱ δὲ ἅγιαι καὶ θεοπειθεῖς εὐχαὶ τῆς ὑμετέρας μακαριότητος εἴησάν μοι ἀρωγοὶ διὰ βίου παντός.

3

Κατὰ τὸν αὐτὸν καιρὸν ἐν ᾧ ἐστάλθη τὸ ῥηθὲν τῆς ἀσυλίας σχέδιον, ἐγράφη καὶ ἡ παροῦσα ἐπιστολή, ἐκ μέρους τοῦ φιλοστοργοτάτου μοι πατρὸς, πρὸς τὸν μακαρίτην αὐθέντην Νικόλαον βοεβόδα.

Γνωρίζω καλῶς, ὑψηλότατε καὶ θεοσέβαστέ μοι αὐθέντα καὶ ἡγεμὼν κράτιστε, ὅτι δὲν εὑρίσκω κἀμίαν ἄλλην ἀπολογίαν εὐπρόσωπον νὰ προσφέρω εἰς τὸ ὕψος τῆς ὑμετέρας μεγαλοπρεπεστάτης ὑψηλότητος τῆς μέχρι τοῦδε σιγῆς καὶ ἀφωνίας μου, παρὰ ὅτι τὰ πλήθη τῶν ἁμαρτιῶν μου, καὶ αἱ ἐρινύες τῆς ἀτυχίας μου συνέσφιγξαν καὶ συνέδησαν τὴν γλῶσσαν, καὶ ὑστέρησαν τὴν φωνὴν μὲ τὰ δεσμὰ καὶ τὰς ἀλύσεις τῆς πέρα τοῦ δέοντος συστολῆς· τὴν ὁποίαν ὅτι μὲν δικαίως εἶχον καὶ ἔχω, ὁμολογῶ ἐπιγινώσκων καλῶς τὴν ἐμὴν ἀσθένειαν καὶ ἀναξιότητα εἰς τὸ νὰ ἐμφανίζωμαι καὶ νὰ προσεγγίζω διὰ γραμμάτων τοσούτῳ ὕψει καὶ μεγέθει τῆς τρισολβίου καὶ ἀκροτάτης αὐτῆς ὑψηλότητος, ὅτι δὲ πέρα τοῦ μετρίου ἐξετάνθη, καὶ εἰς δειλίαν καὶ μικροψυχίαν ἐπίμωμον ἐκατήντησε τὸ πάθος, καὶ τοῦτο πάλιν ἀναγκάζομαι καὶ ἄκων ὁμολογῆσαι. Ἓν μόνον φάρμακον εὑρίσκω ἐπὶ τούτοις, καὶ εἰς μίαν ταύτην τὴν ἱερὰν ἄγκυραν πέποιθα ἀσφαλῶς, τὴν ἄκραν φιλανθρωπίαν καὶ συμπαθεστάτην καὶ τῷ ὄντι χριστομίμητον διάθεσιν τῆς πανσόφου αὐτῆς ὑψηλότητος, μὲ τὴν ὁποίαν μετὰ πραότητος καὶ ἱλαρᾶς γνώμης εἴωθε κρίνειν καὶ ἐξετάζειν τὰ ὑπὸ τῶν δούλων αὐτῆς ἡμαρτημένα, τοὺς ὁποίους καὶ ἁμαρτάνοντας ἀνέχεται, καὶ ἐπιστρέφοντας εὐσπλάγχνως ἀποδέχεται, θεὸν ἐν τούτῳ μιμουμένη τὸν φύσει εὔσπλαγχνον καὶ μακρό-

θυμον. Προσπίπτω λοιπὸν ἱκέτης ταπεινὸς τῇ θεοσεβεστάτῃ σου ὑψηλότητι, καὶ τοῖς παντίμοις αὐτῆς ποσὶν ἐγκαλινδοῦμαι τὰ ἴχνη κατασπαζόμενος, καὶ ἐπὶ μὲν τοῖς φθάσασι συγγνώμην αἰτοῦμαι, εἰς δὲ τὸ μέλλον δέομαι νὰ ἔχω τὸ σκέπος καὶ τὴν ἀντίληψιν τῆς ὑμετέρας θεοσεβοῦς ὑψηλότητος · ὁ δὲ τῶν ἀγαθῶν χορηγὸς θεὸς νὰ περιφρουρῇ καὶ νὰ περισκέπῃ αὐτὴν πάσης λυπηρᾶς περιστάσεως ἀνωτέραν, ὑγιᾶ τε καὶ παναίσιον, καὶ ἀμφιλαφοῦς ἀπολαύουσαν εὐτυχίας, καὶ στηρίζοι αὐτὴν εἰς τὸν ἡγεμονικὸν αὐτῆς θρόνον μέχρι γήρως λιπαροῦ καὶ βαθυτάτου · νὰ τὴν ἀξιώσῃ καὶ τὰς πανσέπτους ἡμέρας τῶν νηστειῶν λαμπρῶς καὶ ἐνδόξως, μετ' ἐπιτυχίας πάντων τῶν ἐφετῶν καὶ καταθυμίων, καὶ ἐφέτος καὶ τοῦ χρόνου, καὶ εἰς πολλὰς ἡλίου κυκλοφορίας. Τὰ ἔτη της ὑμετέρας θεοσεβεστάτης ὑψηλότητος εἴησαν θεόθεν πλεῖστα καὶ πανευδαίμονα.

(Κώδηξ δεύτερος Κριτίου, σελ. 711-714.)

4

Γράμμα ἀφιερώσεως γεγονὸς καὶ γραφὲν ἐν Βουκουρεστίῳ διὰ τὴν ἀνέγερσιν τῆς ἐκκλησίας ἐπ' ὀνόματι τῶν παμμεγίστων Ταξιαρχῶν καὶ πανδοχείου καὶ οἰνώνων καὶ λοιπῶν κτημάτων ἐν Βουκουρεστίῳ γενομένων ὑπὸ τοῦ Σταυρουπόλεως Ἰωαννικίου, καὶ ἀφιερωθέντων εἰς τὸ κατὰ τὴν ἀρχιεπισκοπὴν τῆς Πωγωνιανῆς μοναστήριον τῶν παμμεγίστων Ταξιαρχῶν, ἐπονομαζόμενον τοῦ Γκούρα.

Θεῖόν τι χρῆμα ἡ τάξις, σωστικώτατόν τε καὶ τῶν λίαν ἀναγκαίων καὶ καθολικωτάτων · ἥτις ἐκ τῶν ὑπερουρανίων καὶ θείων ἀρχομένη, καὶ διὰ τῶν ἀΰλων δυνάμεων διϊκνουμένη, καὶ αὐτῶν τῶν οὐρανίων σωμάτων τε καὶ στοιχείων, μέχρι καὶ αὐτοῦ τοῦ κέντρου τῆς γῆς σώζει καὶ διατηρεῖ πάντα τὰ ὄντα, ἀλλὰ καὶ οὐδὲν ἐν τῷ κόσμῳ ἄτακτον οὐδὲ ἀπρονόητον, ὡς μὴ δυναμένη τὸ τοιοῦτον διαιωνίζειν, κατὰ τὸ παλαίφατον λόγιον · καὶ οὐ μόνον τά τε θεῖα

καὶ τὰ φύσει κοσμεῖται καὶ συντηρεῖ, ἀλλὰ δὴ καὶ τὰ ἤθη ἑκάστου, οἰκίας τε καὶ πόλεις, κἂν τοῖς βασιλείοις ἀναγκαιοτάτη γνωρίζεται σύνοικος · ὡσαύτως καὶ τοῖς σεμνείοις τε καὶ κοινοβίοις τὸ κράτος ἐσχηκυῖα, πάσης εὐκοσμίας καθίσταται πρόξενος · πρὸς ὅπερ ἀπιδοῦσα καὶ ἡ θεολόγος φωνὴ τὴν τάξιν τιμᾶσθαι καὶ τοῦ κράτους προηγεῖσθαι ὡς τούτου φύλαξ διακελεύεται · τὰ γὰρ ἐξοικιζόμενα τῆς οἰκείας τάξεως κακῶς εἴωθε φέρεσθαι τοῦ λοιποῦ, καὶ ἀτάκτως ἄγεσθαι, καὶ τάξιν οὐδέποτε ἐσχηκέναι μόνιμον, ὡς τοὺς προσφυεῖς τῆς σφῶν καταστάσεως ὅρους τέως ἀπολέσαντα, καὶ πῇ μὲν ὧδε, πῇ δ' ἐκεῖσε ἀντιθέτως καὶ ἀλλεξάλλως καθέλκεσθαι · διὸ καὶ τὸ σκεῦος τῆς ἐκλογῆς τοῖς Κορινθίοις διατάττεται λέγων : « τὰ πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω » · καὶ πάλιν τοῖς Κολασσαεῦσιν ὁ αὐτὸς : « εἰ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως » · ἀλλὰ δὴ καὶ ὅ φησιν ὁ αὐτὸς τὸ τοῦ Χριστοῦ θεῖον στόμα : « ἕκαστος ἐν ᾧ ἐκλήθη ἐκεῖ καὶ μενέτω », εἰς τοῦτο πάντως φέρει ἕκαστον τὴν ἰδίαν τάξιν διακατέχειν κελεῦον, μένει δ' ἕκαστος ἐν ᾧ ἐκλήθη οὐ μόνον σωματικῶς, ἀλλὰ μάλιστα καὶ πνευματικῶς, καὶ γνώμῃ καὶ προαιρέσει καὶ βοηθείᾳ, καὶ ἄλλοις οἷς τισιν ἂν δύνηται τρόποις, ἀνθ' ὧν καὶ ἡ ταπεινότης ἡμῶν, ἡ ἐκ νεαρᾶς ἡλικίας τὸν μοναδικὸν βίον αἱρετισαμένη, καὶ τῷ σεβασμίῳ καὶ ἱερῷ μοναστηρίῳ κατὰ τὴν τῆς Πωγωνιανῆς ἐπαρχίαν, ἐπ' ὀνόματι τιμωμένῳ τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ, Γκούρα ἐπονομαζομένῳ, πλησίον τῆς κώμης Ὀστανίτζας τῆς πατρίδος αὐτῆς, ἐπί τινος πέτρας αὐτοφυοῦς μεγάλης ἐπιτεθεμελιωμένῳ, τὸ ἀγγελικὸν ἐδέξατο σχῆμα, ἐν' ᾧ καὶ ὡς τάξις ἀπῄτει ἑαυτὴν ἀφωσιώσατο · κἀκεῖθεν μετὰ πάροδον χρόνου συχνοῦ ἀποδημήσασα ἀδείᾳ καὶ ἐπιταγῇ τοῦ ἐνταῦθα τὸ τηνικαῦτα ἡγουμενεύοντος, καὶ τῶν λοιπῶν ἐνασκουμένων πατέρων, χάριν ἐλέους καὶ τῆς παρὰ τῶν χριστιανῶν βοηθείας, καὶ μετὰ περιήγησιν ἱκανὴν ἐπιδημήσασα τῇ κατὰ τὴν Οὐγγροβλαχίαν πόλει Βουκουρέστιον ἐπονομαζομένῃ, προτροπῇ καὶ συνεργείᾳ τοῦ τότε τῆς Οὐγγροβλαχίας ἡγεμονεύον-

τος, σοφωτάτου καὶ ἀειμνήστου κυρίου κυρίου Ἰωάννου Νικολάου βοεβόδα τοῦ Μαυροκορδάτου, ἐπὶ τὸ μέγα καὶ ἁγιώτατον ἀξίωμα τῆς ἀρχιερωσύνης προεβιβάσθη, Σταυρουπόλεως ἀρχιερεὺς χειροτονηθεῖσα, ἐκδόσει τοῦ τηνικαῦτα παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου Ἱερεμία, τοῦ ἡμετέρου αὐθέντου καὶ δεσπότου, προθυμηθεῖσα δ' ἔπειτα καὶ πρῶτον σκοπὸν θεμένη ἵνα, κατὰ τὸ ἐφικτὸν, βοηθήσῃ τῷ ῥηθέντι ἱερῷ μοναστηρίῳ, ἔνθα τὸ ἀγγελικὸν περιεβάλετο σχῆμα · καὶ συνεπιλαμβάνοντα τὸν καιρὸν ἐσχηκυῖα, ἀναλώμασιν οἰκείοις πανδοχεῖον ἐκ βάθρων ἀνήγειρεν ἐν τῇ πόλει Βουκουρεστίῳ πλησίον τῆς ἱερᾶς ἐκκλησίας τῆς ἁγίας τοῦ Χριστοῦ γεννήσεως, τῆς ἀνατεθειμένης τῇ ἁγιωτάτῃ ἀρχιεπισκοπῇ τῆς Πωγωνιανῆς, τόν τε πέριξ περίβολον καὶ τὰ κελλία πάντα ἐξ ὀπτῆς πλίνθου ἀνῳκοδόμησε, πλησίον τε τῆς μεγάλης εἰσόδου, καὶ ναὸν ἀνήγειρεν ὡραῖον, ἐπ' ὀνόματι τιμώμενον τῶν τε παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ, καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου πατριάρχου Ἀλεξανδρείας · κατὰ πλευρὰν δὲ τοῦ πανδοχείου καὶ οἶκον ἀνεδομήσατο κάλλιστον μετὰ καὶ οἰνώνων καὶ οἰνοπωλείου · ἃ δὴ πάντα τό τε πανδοχεῖον σύμπαν, τὸ κοινῶς λεγόμενον χάνιον, τόν τε ναὸν σὺν πᾶσι τοῖς αὐτοῦ ἀφιερώμασι κινητοῖς τε καὶ ἀκινήτοις, ἱεροῖς ἀμφίοις, ἀμπελῶσι, καὶ πᾶσι κτήμασι, καὶ σύμπασαν τὴν οἰκίαν, ἵνα τὴν ἐξυμνουμένην τάξιν τηρήσῃ, καὶ τὸ τοῦ ἀποστόλου κελεῦον « ἕκαστος ἐν ᾧ ἐκλήθη ἐκεῖ καὶ μενέτω », καὶ ἵνα βοήθειάν τινα σχοίη καὶ κυβέρνησιν τὸ τῶν ἀύλων ἀρχαγγέλων ἱερώτατον καταγώγιον, ἔνθα τὴν ἀρχὴν ἔθετο αὐτῆς τὴν μετάνοιαν, μεθ' ὅτι πλείστης προθυμίας αἰωνίως καὶ ἀναποσπάστως ἀφιερώσατο τῷ ῥηθέντι πανσεβάστῳ καὶ θειοτάτῳ μοναστηρίῳ, ἐπ' ὀνόματι τιμωμένῳ τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ, ἐν τῇ ἁγιωτάτῃ ἀρχιεπισκοπῇ τῆς Πωγωνιανῆς παρὰ τῇ κώμῃ Ὀστανίτζα, ἐπί τινος αὐτοφυοῦς λίθου ἐπῳκοδομημένῳ · πλὴν μετὰ τοιούτων τῶν ῥηθησομένων ἀπαραβάτων καὶ ἀμετατρέπτων διατάξεων, ἅς περ αὐτὴ διετάξατο · ὧν πρώτη καθέστηκε τὸν καθηγουμενεύοντα ἐν τῷ ἱερῷ μοναστηρίῳ τῶν ἀρχαγγέλων, ἐν τῇ αὐτῆς μετανοίᾳ, καὶ

εἶναι καὶ λέγεσθαι πρῶτον ἐπίτροπον πάντων τῶν ῥηθέντων ἀφιερωμάτων, πανδοχείου, φημί, ναοῦ τε τῶν Ταξιαρχῶν, σὺν πᾶσι τοῖς αὐτῷ ἀφιερωθεῖσι κινητοῖς τε καὶ ἀκινήτοις, ἅμα τῇ παρακειμένῃ οἰκίᾳ, ἐπιτροπεῦσαι δὲ τοῦτον συνάμα τοῖς αὐταδέλφοις αὐτῆς Παναγιώτῃ καὶ Νικολάῳ τῶν μετὰ τὴν ἀποβίωσιν τῆς ἡμῶν ταπεινότητος ἐπιτρόπων · περιόντας δὲ αὐτοὺς χρέος ἔχειν ἀπαραίτητον ἐκλέξασθαι ἐκ τῆς ἡμετέρας συγγενείας ἄνθρωπόν τινα τὸν ἐπιτροπεύσοντα μετὰ τὴν αὐτῶν ἀποβίωσιν, εὐλαβῆ τε καὶ τρίβωνα τῶν πραγμάτων, καὶ ἔνοικον ἔχων ἐν ἑαυτῷ τὸν θεῖον φόβον · ἅμα τούτοις ἐπιτροπεύειν τῶν ἀναθημάτων τῶνδε συμπάντων καὶ τὸν κατὰ καιροὺς τυχόντα θεοφιλέστατον ἐπίσκοπον Πωγωνιανῆς, καὶ τὸν στάροσταν τῶν ἐν Βουκουρεστίῳ τιμίων πραγματευτῶν.

Ἐκ τούτων τῶν τριῶν μερῶν καθίστασθαι τῶν ῥηθέντων ἀφιερωμάτων ἐπιτρόπους, ἀναλαβεῖν τε τὴν φροντίδα τούτων καὶ διοίκησιν, ἵν' ὁσίως καὶ θεοφίλως ἡ διοίκησις γένηται, καὶ ἀξία ἡ ἀντιμισθία παρά τε θεοῦ καὶ τῶν Ταξιαρχῶν ἐμοί τε καὶ αὐτοῖς βραβευθείη · ἐκλέγειν τε τοὺς ῥηθέντας αὐτῆς ἐπιτρόπους τινὰ τῶν ἱερομονάχων ἐκ νοῦ σεβασμιωτάτου ἀρχαίου μοναστηρίου, εἴ γε τὸν τοιοῦτον εἶναι ἐκ τῆς ἡμετέρας γενεᾶς, εὐλαβείᾳ τε καὶ σεμνῷ βίῳ κεκοσμημένον, εἰδήμονα τῶν ἐκκλησιαστικῶν διατάξεων, δίκαιον, ἐστοιχειωμένον τῇ θείᾳ φρίκῃ, ἐπὶ τὸ διοικεῖν τε καὶ προΐστασθαι ἐν τάξει ἡγουμένου τῶν ἀφιερωθέντων ἁπάντων, κινητῶν τε καὶ ἀκινήτων, ἐμψύχων τε καὶ ἀψύχων, ἀμπελώνων τε καὶ μουσιῶν καὶ τῶν ἄλλων · τὸν ἐπιτροπεύοντα στάροσταν σὺν τοῖς λοιποῖς ἔχειν ἄδειαν λόγον ἐπὶ λεπτοῦ λαμβάνειν ἀπὸ τὸν ἐν τάξει καθεστῶτα ἡγούμενον, καὶ καλῶς μὲν καὶ ἐπ' ὠφελείᾳ ἑστηκότα, κακῶς δὲ καὶ ἀναξίως διωκηκότα ἐξῶσαι τῆς ἐπιστασίας καὶ πρὸ τῆς τοῦ ἔτους ἐκπληρώσεως, καὶ ἕτερον ἀντ' αὐτοῦ καταστῆσαι. Πρὸ τῶν ἄλλων ἁπάντων τὸν ἐπιστατοῦντα ἐκ τῶν συναχθέντων εἰσοδημάτων ἀπό τε κινητῶν καὶ ἀκινήτων πραγμάτων ἀνακτᾶσθαι τὰ πεπονηκότα, καὶ ἀνανεῶσαι τὰ παλαιωθέντα τοῦ τε ναοῦ, πανδοχείου τε καὶ τῆς οἰκίας, σκέπης αὐτῶν σαθρωθείσης ἢ τείχους διαρραγέντος ἢ κατα-

πεπτωκότος. δευτέρα δὲ, πέμψαι κατὰ πᾶν ἔτος ἀνὰ γρόσια 20 τὸν μισθὸν τῷ διδασκάλῳ τοῦ κοινοῦ σχολείου τοῦ ὑπ' αὐτῆς διορισθέντος τῷ διδάσκοντι τοὺς παῖδας κοινὰ καὶ ἐκκλησιαστικὰ μαθήματα ἐν τῇ πατρίδι αὐτῆς τῇ Ὀστανίτζᾳ · τρίτη, ἀποδοῦναι τὸν συμπεφωνημένον μισθὸν ἀνελλιπῆ τοῖς ἐνταῦθα ἐφημερεύουσιν ἐν τῷ τῶν Ἀρχαγγέλων θείῳ ναῷ καὶ τοῖς ἄλλοις μισθωτοῖς · τετάρτη, ἑορτάσαι τὴν τῶν Ἀρχαγγέλων πανήγυριν, ὁμοίως καὶ τὴν μετ' ἐκείνην τὴν τῶν κτιτόρων, λειτουργοῦντος ἀρχιερέως καὶ τῶν κτιτόρων μνημονεύοντος, καὶ διδόναι τῷ λειτουργήσαντι ἀρχιερεῖ ἀνὰ δύο χρυσᾶ φλωρία · πέμπτη, χρέος ἔχειν ἀπαραίτητον τὸν προεστηκότα προσκαλέσασθαί τινα τῶν ἀρχιερέων τρὶς τοῦ ἔτους, ἅπαξ δηλονότι ἐν τέτταρσι μησὶν ἐπὶ τῷ τὴν θείαν μυσταγωγίαν τελέσαι, καὶ μνημονεῦσαι τοῦ ταπεινοῦ αὐτῆς ὀνόματος, καὶ ἀναγνῶναι καὶ τὰς συγχωρητικὰς εὐχὰς ὑπὲρ ἀφέσεως τῶν πλημμεληματῶν, ἃ ὡς ἄνθρωπος ἔπραξεν, καὶ λαμβάνειν ἐν ἑκάστῃ λειτουργίᾳ ἀνὰ δύο φλωρία χρυσᾶ · ἕκτη, μηδένα τολμῆσαι τὸ σύνολον ἀπεμπολῆσαί τι τῶν κινητῶν ἢ ἀκινήτων κτημάτων τοῦ ὑπ' αὐτῆς ἀνεγερθέντος ναοῦ καὶ ἱερόσυλον γενέσθαι ἀναφανδὸν, ἀλλὰ διακατέχειν καὶ διατηρεῖν ἀπαραμείωτα πάντα τὰ ἐκκλησιαστικὰ κτήματα, ἅπερ αὐτὴ ἐκέκτητο καὶ ἀνήγειρεν · ἀλλὰ μᾶλλον, τοῦ καιροῦ βοηθοῦντος, αὔξαί τε καὶ καλλιεργῆσαι εἰς οἰκεῖον μνημόσυνον · ἑβδόμη καὶ τελευταία, τὰ ἐκ τῶν προσόδων πασῶν περιττεύοντα χρήματα, μετὰ τὴν ἐκπλήρωσιν τῶν ἀνωτέρω διορισθέντων, ὅσα περ ἂν ὦσιν, ἐκπεμφθῆναι παρὰ τῶν ἐπιτρόπων σῶα καὶ ἀνελλιπῆ εἰς τὸ ἱερώτατον τὸ παρὰ τῇ Ὀστανίτζᾳ τῶν Ἀρχαγγέλων μοναστήριον (ἔνθα ἡ ἐμὴ ταπεινότης ἑαυτὴν τῷ θεῷ καθιέρωσεν) εἰς μνημόσυνον μὲν αὐτῆς, βοήθειαν δὲ τῶν ἐκεῖσε κοινοβιούντων σεβασμίων πατέρων, σὺν οἷς καὶ κατάλογον ἀκριβέστατον περιέχοντα ἐπὶ λεπτοῦ τάς τε προσόδους ἁπάσας καὶ τὰ κατ' ἔτος ἀναλώματα, καὶ οὕτως ἡ τάξις τηρηθήσεται τοῦ « ἐν ᾧ ἐκλήθη τις ἐκεῖ καὶ μενέτω ». Οὕτω γνώμης ἔσχηκεν ἡ ἐμὴ ταπεινότης, καὶ οὕτω περὶ τούτων διωρίσατο · μεθ' ἅπαντα δέεται καὶ ἀξιοῖ τοὺς ἡγεμονεύοντας ἐν ταύτῃ τῇ Οὐγγροβλαχίᾳ

ἐν ἑκάστοις καιροῖς ὑψηλοτάτους ἡγεμόνας, ὁμοίως καὶ τοὺς ἀρχιερατεύσοντας πανιερωτάτους ἀρχιερεῖς, ἔχειν τὴν ὑπεράσπισιν καὶ ἐπίσκεψιν ταύτης τῆς σεβασμίας μονῆς τῆς τῶν Ἀρχαγγέλων, ἐπικυρῶσαί τε καὶ ἀνανεῶσαι καὶ ἀπαράβατα τηρῆσαι τὰ ἐπιδαψιλευθέντα χρυσόβουλλα τῶν ὑψηλοτάτων προηγεμονευσάντων, καὶ ἑτέροις ἑαυτῶν χρυσοβούλλοις ἐπιβεβαιῶσαι τὰ προγεγονότα, ἵνα καὶ ἀξίαν σχῶσι τὴν ἀντιμισθίαν παρά τε θεοῦ καὶ τῶν ἀρχαγγέλων.

Ὅστις οὖν ὁποιασδήποτε εἴη τάξεως ἐκκλησιαστικῆς ἢ πολιτικῆς, πάντα τὰ ὑπ' αὐτῆς ἐν τῇ ἀφιερώσει ταύτῃ φυλάξῃ ἀπαραμείωτα καὶ ἀπαράβατα, καὶ τὴν δυνατὴν βοήθειαν εἰσενέγκῃ καὶ κατὰ καιρὸν ἀντιλάβηται, εὐλογημένος εἴη καὶ συγκεχωρημένος παρὰ θεοῦ κυρίου παντοκράτορος, τοῦ ἑνὸς καὶ μόνου τῇ φύσει θεοῦ, καὶ σχοίη ἀείποτε συνεργοὺς καὶ φύλακας, ἐν παντὶ καιρῷ καὶ τόπῳ, τοὺς παμμεγίστους ἀρχιστρατήγους Μιχαὴλ καὶ Γαβριὴλ, καὶ πάσας τὰς πυριμόρφους καὶ ἀσωμάτους οὐρανίους δυνάμεις. Ἔμπαλιν δὲ, ὅστις αἰσχροκερδίᾳ φερόμενος, ἢ ὑπεροψίᾳ νικώμενος, τολμήσειεν ἀποσπᾶσαι καὶ ἀπαλλοτριῶσαι ταῦτα τὰ ἀφιερωθέντα, ἢ ἅπαντα ἤ τινα τούτων, ἀπὸ τοῦ ἱερωτάτου τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ σεβασμίου μοναστηρίου, τοῦ παρὰ τῇ κώμῃ Ὀστανίτζᾳ ἐπί τινος αὐτοφυοῦς πέτρας ἀνεγηγερμένου, ἢ τολμήσειε διασεῖσαι ἢ ἀνατρέψαι ταύτην μου τὴν θεάρεστον καὶ δικαίαν ἀφιέρωσιν, ἤ τι τῶν ὧν ἐν τῷ παρόντι ἀφιερωτικῷ διωρίσατο γράμματι, εἴ τέ τις τῶν ἐμῶν συγγενῶν εἴη ἂν ὁ τοιοῦτος, εἴτε των ἐπιτρόπων, εἴτε τῶν ἡγουμενευόντων, εἴτε ἄλλος τις μέγας ἢ μικρὸς, ὁποιασδήποτε τάξεως καὶ βαθμοῦ εἴη, ἔστω ἀφωρισμένος παρὰ τῆς παναγίας καὶ ζωαρχικῆς Τριάδος, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος · αἱ πέτραι καὶ ὁ σίδηρος λυθήσονται, αὐτὸς δὲ οὐδαμῶς · καὶ προκοπὴν οὐ μὴ ἴδῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἡ ὀργὴ τοῦ θεοῦ εἴη ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἐχέτω καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν ἁγίων συνόδων. Ἡ μερὶς αὐτοῦ εἴη μετὰ τοῦ Ἰούδα καὶ τῶν Ἰου-

δαίων, τῶν σταυρωσάντων τὸν κύριον τῆς δόξης. Ἔστω στένων καὶ τρέμων ἐπὶ τῆς γῆς ὡς ὁ Κάϊν, κληρονομήσειε καὶ τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα · σχισθείη ἡ γῆ καὶ καταπίοι αὐτὸν ὡς τὸν Δαθᾶν καὶ Ἀβειρών · οἱ πόνοι αὐτοῦ εἴησαν πυρίκαυστοι, καὶ σχοίη ἀντιδίκους καὶ πολεμίους, ἐν παντὶ καιρῷ καὶ τόπῳ, τοὺς παμμεγίστους ἁγίους Ταξιάρχας σὺν πᾶσι τοῖς οὐρανίοις στρατεύμασιν, ὁμοῦ καὶ τὸν ἁγιώτατον πατέρα ἡμῶν πατριάρχην Ἀλεξανδρείας τὸν μέγαν Ἀθανάσιον.

Ἐν ἔτει ϕψλγ', νοεμβρίου η'.

(Κώδηξ πρῶτος Κριτίου, σελ. 417-421.)

5

Κατὰ τὴν περίληψιν τοῦ ἀνωτέρω γράμματος ζητηθὲν ἐξεδόθη καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν ἐπιβεβαιωτήριον τῆς ἀφιερώσεως ταύτης γράμμα.

Πολύτροπα μὲν ὑπάρχουσι καὶ πολυειδῆ ἐν τοῖς ὀρθοδόξοις χριστιανοῖς τὰ ἔργα τῆς κατὰ θεὸν ἀρετῆς καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης, καὶ πάντα ὁ θεὸς εὐμενῶς ἀποδέχεται, καὶ ἀποδίδωσιν ἑκάστῳ τὰ ἐπάξια γέρα καὶ τοὺς μισθούς · τιμιώτερα δὲ τῶν ἄλλων καὶ περισπουδαστότερα πάντως καθέστηκε τὰ περὶ τὰ ἱερὰ τοῦ θεοῦ καταγώγια καὶ σεβάσμια σκηνώματα ἐνθέῳ ζήλῳ καὶ πόθῳ τοῖς εὐσεβέσι φιλεργούμενα, καὶ ὑπὸ ἐνθέου εὐλαβείας καὶ εὐγνώμονος προαιρέσεως θεῷ τῷ δοτῆρι τῶν ἀγαθῶν προσφερόμενα εἰς δόξαν μὲν αὐτοῦ καὶ ὑμνολογίαν ἀένναον, μνημόσυνον δὲ διηνεκὲς τῶν προσενεγκάντων καὶ ἀφιερωσάντων αὐτά, οὗ καὶ ὁ ζῆλος μᾶλλον ἐπαινεῖται, καὶ ἡ πρόθεσις διὰ θαύματος ἄγεται, ἀποδοχῆς ἄξια κρίνεται, ὅτι τῷ προὔχοντι τῶν ἀγαθῶν ἔργων ὁποῖά ἐστιν ἡ τῶν θείων ναῶν συνδρομή τε καὶ περιποίησις ἐπεβάλλοντο θεῷ τὰ ἐκ θεοῦ ἱλαρᾷ προαιρέσει προσάγοντες · ταῦτά τοι καὶ ἐμφανιζόμενα τὰ τῶν τοιούτων φιλοθέων ἀνδρῶν σπουδάσματα τῇ κοινῇ μητρὶ πασῶν

τῶν ἐκκλησιῶν, οὐ μόνον ἀποδοχῆς καὶ τιμῆς κατά γε τὸ εἰκὸς ἀξιοῦται, ἀλλὰ καὶ συστάσεως ἐπιδεόμενα εἰς μόνιμον αὐτῶν διαμονὴν καὶ συντήρησιν, ὅλαις ἐπιμελείαις καὶ σπουδαῖς, τὴν προσήκουσαν ἀπολαμβάνει βεβαίωσιν καὶ ἀσφάλειαν · τούτῳ γὰρ τῷ τρόπῳ καὶ αὔξεσθαι πέφυκε τὰ καλὰ, καὶ προκόπτειν καὶ εἰς διαμονὴν προχωρεῖν, τουτέστι ταῖς περὶ αὐτὰ σπουδαῖς τε καὶ ἐπιμελείαις.

Ὅθεν καὶ ἡ μετριότης ἡμῶν, θείῳ ἐλέει, τὸν οἰκουμενικὸν τοῦτον θρόνον πληρωσαμένη, καὶ τὴν πασῶν τῶν ἐκκλησιῶν ἀναλαβοῦσα μέριμναν, καὶ κατ' ὀφειλὴν ἀπαραίτητον τὴν τῶν ἱερῶν σκηνωμάτων σύστασιν καὶ αὔξησιν ἐπιποθοῦσα, οὐ μόνον εὐμενῶς ἀποδέχεσθαι εἴωθε τὴν περὶ τὰ θεῖα τεμένη φιλοθέων ἀνδρῶν σπουδὴν καὶ εὐλάβειαν, καὶ ἐκ τῶν ἐνόντων συνδρομὴν καὶ βοήθειαν, ἀλλὰ καὶ γράμμασι πατριαρχικοῖς κατοχυροῦν τὰ φιλεργήματα αὐτῶν οὐκ ἀπαναίνεται, καὶ διὰ τῆς πατριαρχικῆς ἀξίας καὶ δυνάμεως τὸ μόνιμον τούτοις χαρίζεσθαι.

Ἐπειδὴ τοιγαροῦν καὶ τὰ νῦν ἀνηνέχθη καὶ ἐδηλοποιήθη ὡς ὁ ἐν τῇ θεοφυλάκτῳ τζάρᾳ τῆς ὑψηλοτάτης αὐθεντίας Οὐγγροβλαχίας τὰς διατριβὰς ποιούμενος ἱερώτατος μητροπολίτης Σταυρουπόλεως καὶ συναδελφὸς αὐτῆς κὺρ Ἰωαννίκιος, ζήλῳ θείῳ κεκινημένος πρὸ χρόνων ἤδη τινῶν ἀνήγειρε καὶ ἀνῳκοδόμησεν ἐν τῇ πολιτείᾳ Βουκουρεστίου ἓν πανδοχεῖον, καὶ ναὸν ἐν αὐτῷ ἀνήγειρε τιμώμενον ἐπ' ὀνόματι τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ, καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου, πατριάρχου Ἀλεξανδρείας, πλησίον τῆς ἱερᾶς ἐκκλησίας τῆς ἁγίας τοῦ Χριστοῦ γεννήσεως τῆς ἀνατεθειμένης τῇ ἁγιωτάτῃ ἀρχιεπισκοπῇ τῆς Πωγωνιανῆς, καὶ κατὰ πλευρὰν τοῦ πανδοχείου καὶ οἶκον ἐδομήσατο μετὰ οἰνώνων καὶ οἰνοπωλείου, καὶ περιποιησάμενος αὐτὰ κτήμασί τε καὶ πράγμασι κινητοῖς τε καὶ ἀκινήτοις, ἱεροῖς ἀμφίοις καὶ ἀμπελῶσιν, ἀνέθηκε καὶ ἀφιέρωσε τὸ ῥηθὲν πανδοχεῖον, σὺν τῷ ἐν αὐτῷ ναῷ καὶ λοιποῖς πᾶσιν ἀφιερώμασιν, εἰς τὸ ἐν τῇ ῥηθείσῃ ἀρχιεπισκοπῇ Πωγωνιανῆς ἱερὸν καὶ σεβάσμιον μοναστήριον, τιμώμενον κἀκεῖνο ἐπ' ὀνόματι τῶν παμμεγίστων Ταξιαρχῶν, ἐπονομαζόμενον τοῦ Γκούρα, πλησίον

τῆς κώμης Ὀστανίτζας, ἐν' ᾧ καὶ τὸ ἀγγελικὸν τὴν ἀρχὴν ἐδέξατο σχῆμα, καὶ ἑαυτὸν ἀφιέρωσε καὶ ἀνέθηκε · κἀντεῦθεν ἐφ' ᾧ τὴν τοιαύτην αὐτοῦ προσήλωσίν τε καὶ ἀφιέρωσιν περὶ τοῦ ῥηθέντος πανδοχείου καὶ τῶν ἐν αὐτῷ περιεχομένων πραγμάτων ἔχειν τὸ ἀσφαλές τε καὶ μόνιμον, καὶ διενεργεῖσθαι καὶ συμφυλάττεσθαι, ἕως οὗ ὁ ἥλιος περιτρέχει τὸν κύκλον αὐτοῦ, δεῖν ἔγνω ἐμφρόνως λίαν καὶ προνοητικῶς, ὥστε ὑπὸ ἐπιτρόπους καὶ ἐπιστάτας ἀξίους καὶ ἔμφρονας θεῖναι τὴν διοίκησιν καὶ κυβέρνησιν αὐτοῦ, καὶ ὅροις τισὶ καὶ κανόσιν, ὡς ἐκτύπῳ περιλαβεῖν καὶ διορίσασθαι τὸν τρόπον τῆς καλῆς καὶ θεαρέστου κυβερνήσεως καὶ διεξαγωγῆς αὐτοῦ, καὶ μὴ τηνάλλως καὶ ἀδιορίστως φερόμενον εἰς φθορὰν καταπέσῃ, καὶ τῷ πανδαμάτορι χρόνῳ παρανάλωμα γένηται · κἀντεῦθεν διετάξατο καὶ διώρισεν πρῶτον ὅπως τὸν ἡγουμενεύοντα κατὰ καιροὺς ἐν τῇ ῥηθείσῃ κατὰ τὴν Πωγωνιανὴν ἱερᾷ μονῇ τῶν ἀρχαγγέλων εἶναι καὶ λέγεσθαι πρῶτον ἐπίτροπον πάντων τῶν εἰρημένων ἐν Βουκουρεστίῳ ἀφιερωμάτων, ἤτοι τοῦ πανδοχείου, τοῦ ναοῦ τῶν ἀρχαγγέλων καὶ τῆς παρακειμένης οἰκίας σὺν πᾶσι τοῖς ἐν αὐτοῖς κινητοῖς τε καὶ ἀκινήτοις, συνεπιτροπεύειν δὲ μετ' αὐτοῦ περιόντας μὲν τὸν Παναγιώτην καὶ Νικόλαον αὐταδέλφους τῆς αὐτοῦ ἱερότητος, μετὰ δὲ τὴν ἀποβίωσιν ἐκείνων ὃν ἂν ἐκλέξωνται καὶ διορίσουσιν οὗτοι περιόντες ἐκ τῆς συγγενείας αὐτῶν ἄξιον καὶ ἱκανὸν τῆς τοιαύτης ἐπιστασίας, μεθ' ὧν καὶ ὁ κατὰ καιροὺς θεοφιλέστατος ἐπίσκοπος Πωγωνιανῆς καὶ ὁ στάροστας τῶν ἐν Βουκουρεστίῳ πραγματευτῶν ὀφείλουσιν ἔχειν ὁμοῦ τὴν τῶν ἀφιερωμάτων τούτων ἐπιτροπὴν, ἐπιστασίαν καὶ μέριμναν · οἵτινες ἐπίτροποι ἔχωσιν ἐκλέγειν ἱερομόναχον ἐκ τοῦ κατὰ τὴν Πωγωνιανὴν ἀρχαίου μοναστηρίου, εἰ δυνατὸν ἐκ τοῦ γένους τῆς αὐτοῦ ἱερότητος, ἔμπης σεμνῷ βίῳ καὶ ἀρετῇ καὶ πείρᾳ κεκοσμημένον, καὶ καθιστᾶν ἡγούμενον ἐπὶ τῷ προΐστασθαι ἐν τάξει ἡγουμένου τῶν εἰρημένων ἐν Βουκουρεστίῳ ἀφιερωμάτων ἁπάντων, καὶ διοικεῖν αὐτὰ, καὶ διδόναι καὶ ἀπαιτεῖν λογαριασμὸν τῷ ῥηθέντι στάροστᾳ καὶ τοῖς λοιποῖς ἐπιτρόποις, καὶ ἐκ τῶν συναγομένων εἰσοδημάτων ἐπισκευάζειν καὶ ἀνανεοῦν τὰ πεπονηκότα, καὶ πτῶσιν

ἀπειλοῦντα, καὶ διορθώσεως χρῄζοντα μέρη τοῦ πανδοχείου, τοῦ ναοῦ, καὶ τῆς οἰκίας. Β^ον πέμπειν κατὰ πᾶν ἔτος διωρισμένον μισθὸν ἀνὰ εἴκοσι γρόσια τῷ ἐν τῇ πατρίδι τῆς αὐτοῦ ἱερότητος Ὀστανίτζᾳ διδασκάλῳ τοῦ κοινοῦ σχολείου, τῷ διδάσκοντι τοὺς παῖδας τὰ ἁπλᾶ καὶ κοινὰ μαθήματα. Γ^ον πληροῦν ἀπαραιτήτως καὶ ἀνελλιπῶς τὸν συμπεφωνημένον μισθὸν τοῖς ἐφημερεύουσιν ἐν τῷ κατὰ τὸ Βουκουρέστι ναῷ τῶν ἀρχαγγέλων, καὶ τοῖς λοιποῖς τοῦ πανδοχείου μισθωτοῖς. Δ^ον ἑορτάζειν κατ' ἔτος τὴν τῶν ἀρχαγγέλων πανήγυριν ὁμοίως καὶ τὴν μετ' ἐκείνην τὴν τῶν κτιτόρων, καὶ προσκαλεῖν ἀρχιερέα εἰς τὴν λιτὴν, ἱερὰς λειτουργίας καὶ μνημόσυνον τῶν κτιτόρων, καὶ διδόναι τῷ λειτουργήσαντι ἀρχιερεῖ ἀνὰ δύο χρυσᾶ φλωρία. Ε^ον κατ' ὀφειλὴν ἀπαραίτητον προσκαλεῖν ἕνα τῶν ἀρχιερέων τρὶς τοῦ ἔτους, ἤτοι ἀνὰ πᾶσαν τετραμηνίαν ἐπὶ τῷ ἐκτελεῖν τὴν θείαν μυσταγωγίαν, καὶ μνημονεύειν τοῦ ὀνόματος τῆς αὐτοῦ ἱερότητος σὺν τῇ τῶν συγχωρητικῶν εὐχῶν ἀναγνώσει, καὶ πληροῦν τῷ κοπιῶντι ἀρχιερεῖ ἑκάστῃ ἱερᾷ λειτουργίᾳ ἀνὰ δύο χρυσᾶ φλωρία. Ϛ^ον μηδένα τολμῆσαι τὸ σύνολον ἀπεμπολῆσαι καὶ ἐκποιῆσαί τι τῶν κινητῶν καὶ ἀκινήτων κτημάτων τῶν ἀνεγερθέντων ὑπὸ τῆς αὐτοῦ ἱερότητος ναοῦ, ἀλλὰ φυλάττεσθαι πάντα ἀπαραμειώτως καὶ ἀναφαιρέτως. Ζ^ον καὶ τελευταῖον μετὰ τὴν ἐξαίρεσιν καὶ ἀναπλήρωσιν τῶν διορισθέντων ἀνωτέρω μισθῶν, καὶ τῶν εἰς ἐπισκευὰς καὶ ἀνεγέρσεις γενομένων δαπανημάτων, τὰ περισσεύοντα καὶ λειπόμενα χρήματα ἐκ πάντων τῶν τοῦ πανδοχείου τούτου εἰσοδημάτων πέμπεσθαι παρὰ τῶν εἰρημένων ἐπιτρόπων ἀνελλιπῶς εἰς τὸ ῥηθὲν ἐν τῇ Πωγωνιανῇ παρὰ τῇ Ὀστανίτζᾳ ἱερὸν μοναστήριον τῶν ἀρχαγγέλων, καὶ τοὺς ἐν αὐτῷ συνασκουμένους πατέρας, διὰ περίθαλψιν καὶ κυβέρνησιν αὐτῶν· ὁμοῦ δὲ πέμπεσθαι καὶ κατάλογον ἀκριβῆ περιέχοντα τὰς κατ' ἔτος προσόδους καὶ δαπανήματα, καὶ τῷ τρόπῳ τούτῳ, θεοῦ συνεργοῦντος, σώζεσθαι μὲν καὶ φυλάττεσθαι καὶ διακυβερνᾶσθαι τό τε ῥηθὲν πανδοχεῖον σὺν τοῖς ἐν αὐτῷ, ἔτι δὲ καὶ τὸ κατὰ τὴν Πωγωνιανὴν ἱερὸν μοναστήριον τῶν ἀρχαγγέλων καρποῦσθαι καὶ ἀπολαμβάνειν τὴν ἐκ τούτου προσγιγνομένην ὠφέλειαν,

καὶ δὴ τὴν τοιαύτην ἀφιέρωσιν καὶ προσήλωσιν τοῦ ῥηθέντος πανδοχείου, μετὰ τῶν ἀπαριθμηθέντων ὅρων καὶ διατάξεων, ἀπαρτίσαι · καὶ κατασφαλισάμενος ἰδίῳ αὐτοῦ ἀφιερωτικῷ γράμματι ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης Σταυρουπόλεως καὶ συναδελφὸς ἡμῶν κὺρ Ἰωαννίκιος, βουλόμενος ἔχειν αὐτὴν τὸ κῦρος καὶ τὴν ἰσχὺν μόνιμον καὶ ἀπαράτρεπτον εἰς τὸ διηνεκὲς καὶ ἀπαρεγχείρητον, προσέδραμε τῇ προνοίᾳ καὶ κηδεμονίᾳ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ τοῦ οἰκουμενικοῦ τούτου θρόνου, καὶ ἐδεήθη βεβαιωθῆναι αὐτὴν καὶ δι' ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ σιγιλλιώδους γράμματος, ἥντινα ἀξίωσιν καὶ δέησιν αὐτοῦ ὡς εὔλογον καὶ δικαίαν οὖσαν, καὶ πρὸς θεοφιλῆ σκοπὸν ἀφορῶσαν, εὐμενῶς ἀποδεξάμενοι, ἄλλως τε περὶ πολλοῦ ποιούμενοι τὴν σύστασιν καὶ ὠφέλειαν τῶν σεβασμίων μοναστηρίων καὶ ἱερῶν τοῦ θεοῦ σκηνωμάτων, γράφοντες διὰ τοῦ παρόντος ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ λοιπῶν τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν συναδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ διαληφθὲν ἐν Βουκουρεστίῳ τῆς αὐθεντίας Οὐγγροβλαχίας πανδοχεῖον κείμενον πλησίον τῆς ἐκκλησίας τοῦ σωτῆρος Χριστοῦ καὶ θεοῦ ἡμῶν γεννήσεως, τῆς ἀνατεθειμένης τῇ ἁγιωτάτῃ ἀρχιεπισκοπῇ Πωγωνιανῆς, καὶ ἀνεγηγερμένον ὑπὸ τοῦ ἱερωτάτου μητροπολίτου Σταυρουπόλεως κὺρ Ἰωαννικίου, μετὰ πάσης τῆς περιοχῆς καὶ τῶν πραγμάτων αὐτοῦ, ἔτι δὲ καὶ τοῦ ἐν αὐτῷ ἀνεγηγερμένου ναοῦ ὑπὸ τῆς αὐτοῦ ἱερότητος τῶν παμμεγίστων Ταξιαρχῶν, καὶ τῆς παρακειμένης οἰκίας, καὶ πάντων τῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτοῦ κινητῶν τε καὶ ἀκινήτων, ἱερῶν ἀμφίων, οἰνώνων καὶ ἀμπελώνων καὶ λοιπῶν ἁπάντων, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μέχρι τερμάτων αἰῶνος, εἴη καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται κτῆμα καὶ πρᾶγμα τοῦ ἐν τῇ ἀρχιεπισκοπῇ Πωγωνιανῆς ἐν τῇ χώρᾳ Ὀσταν-ίτζᾳ κειμένου σεβασμίου μοναστηρίου τῶν παμμεγίστων Ταξιαρχῶν, ὡς ἀφιερωθὲν καὶ προσηλωθὲν ἐκεῖνο ὑπὸ τοῦ ῥηθέντος κτίτορος ἱερωτάτου μητροπολίτου Σταυρουπόλεως κὺρ Ἰωαννικίου · καὶ μηδεὶς ἄλλος τῶν ἁπάντων ἔχῃ τινὰ μετοχὴν καὶ ὁτιοῦν δικαίωμα

εἰς αὐτό, καὶ κυβερνᾶται καὶ διεξάγηται ὑπὸ τῶν διορισθέντων καὶ κατασταθέντων ἐπιτρόπων κατὰ πάντας τοὺς ἀνωτέρω ἐκτεθέντας καὶ ἀπαριθμηθέντας ὅρους, τύπους τε καὶ κανόνας καὶ διατάξεις, οὓς διετάξατο καὶ διώρισεν ὁ ῥηθεὶς κτίτωρ κὺρ Ἰωαννίκιος, φυλαττομένων μωσιῶν, ἐπισκευῶν, δαπανημάτων, προσόδων, ἰδικῶς ἀνωτέρω ἐν ἑπτὰ κεφαλαίοις διαταχθέντων, εἰς αἰῶνα τὸν ἅπαντα, καθὼς περιέχονται πλατύτερον καὶ σαφέστερον κἀν τῷ ἰδίῳ γράμματι ἀφιερωτικῷ τοῦ αὐτοῦ κτίτορος, ὅπερ ὀφείλει ἔχειν τὴν ἰσχὺν καὶ τὸ κῦρος, καὶ τὴν ἐνέργειαν μόνιμον καὶ ἀμετάθετον εἰς ἀεί. Ὡς δ' ἄν τις καὶ ὁποιος τολμήσῃ ποτὲ ἀνασκευᾶσαι καὶ ἀνατρέψαι τὴν ἀφιέρωσιν καὶ προσήλωσιν ταύτην τοῦ ἐν Βουκουρεστίῳ πανδοχείου εἰς τὴν ἐν τῇ Πωγωνιανῇ σεβασμίαν μονὴν τῶν παμμεγίστων Ταξιαρχῶν ἀποσπᾶσαι ἐκεῖθεν, ἢ τινὸς τῶν ἐν αὐτῷ πραγμάτων καὶ ἀφιερωμάτων κινητῶν ἢ ἀκινήτων ἐφάψασθαι καὶ διασεῖσαι τινὰ τῶν ἐκτεθεισῶν διατάξεων καὶ ὅλως ἐναντιωθέντα τῇ ἀφιερώσει ταύτῃ, καὶ τοῖς περιεχομένοις ἐν τῷ ἀφιερωτικῷ τοῦ ῥηθέντος κτίτορος γράμματι, ὁποίας ὁ τοιοῦτος ἂν εἴη τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος εἴη παρὰ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος, κ. τ. λ.

(Κώδηξ πρῶτος Κριτίου. σελ. 121-124.)

6

Πολύτροπα μὲν ὑπάρχουσι καὶ πολυειδῆ ἐν τοῖς ὀρθοδόξοις χριστιανοῖς τὰ ἔργα τῆς κατὰ θεὸν ἀρετῆς, καὶ πάντα ὁ θεὸς σωματικῶς ἀποδέχεται, καὶ ἀποδίδωσιν ἑκάστῳ τὰ ἐπάξια γέρα καὶ τοὺς μισθούς. Ἀλλὰ καὶ ἐπαινεῖν τὰ τοιαῦτα καὶ μακαρίζειν ὀφείλομεν, ἀποδοχῆς ὄντα πάσης ἄξια, σωτηριώδη τε καὶ σεβάσμια· πρὸς δέ γε καὶ συνιστᾶν αὐτὰ πᾶσι τρόποις, καὶ συνηγορεῖν αὐτοῖς ὅση δύναμις, καὶ προνοίας ἀξιοῦν, ἐπιμελείαις ὅλαις πρὸς σύστασιν τὴν σφῶν καὶ διαμονὴν ἀδιάπτωτον· τούτῳ καὶ γὰρ τῷ τρόπῳ

ἐπαύξεσθαι πέφυκε τὰ καλὰ καὶ προκόπτειν, τουτέστι ταῖς περὶ αὐτὰ σπουδαῖς καὶ ἐπαίνοις καὶ αὔξεται, καὶ πλατύνεται, καὶ κρατύνεται · κἀξυπερπλέου μᾶλλον ἐξησκημένοις λόγοις προσυπεξαίρετα πολλούς τε συναγωνιστὰς διεγείρειν, καὶ ζηλωτὰς τῶν καλῶν ἡ περὶ ταῦτα κηδεμονία καὶ περιποίησις · τῶν καλῶν δ' αὖ ἄλλου ἄλλου ὑπερτεροῦντος, ὅσα τῶν ἄλλων τιμιώτερά τε καὶ ὑπερέχοντα, καὶ οἱ ἔπαινοι δήπου τούτων καὶ τὰ βραβεῖα ἐνδοξότερά τε καὶ ὑψηλότερα. Τὴν παιδείαν δὲ καὶ σπουδὴν τῶν γραμμάτων τῶν παρ' ἡμῖν ἀγαθῶν εἶναι τὸ πρῶτον, καθά που καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος φάσκει, κοινῶς, οἶμαι, πᾶσιν ἀνομολογεῖται, καὶ μηθεὶς ἂν ἔξαρνος γένοιτο · ψυχῆς καὶ γάρ ἐστι κόσμος καὶ τελειότης νοός · ὅσον δὲ ψυχὴ σώματος ὑπερέχει, εἰ βούλει δὲ, καὶ νοῦς αὐτῆς τῆς ψυχῆς, τοσοῦτον καὶ τῶν ἄλλων καλῶν ἐν τῷ μετὰ σώματος τῷδε βίῳ τὸ τῆς παιδείας καὶ μαθήσεως θεοδώρητον ὑπέρκειται χρῆμα, ἥτις καὶ μόνη τῶν χρημάτων ἀθάνατος. Διὸ καὶ μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν, τὸ ἱερόν φησι λόγιον. Ἀνθ' ὧν καὶ περισπούδαστον ἔργον παντὶ εὖ φρονοῦντι ἡ τῆς σοφίας μελέτη τε καὶ ἐπίκτησις κέκριται πάντως καὶ ἀνθρώποις λογικοῖς ἐκ φύσεως οὖσιν ἀναγκαιότατον, ὡς συμπληρωτικὸν καὶ τελειωτικὸν τῆς κατὰ φύσιν καὶ λόγον αὐτῶν ἐνεργείας, δι' ἧς καὶ ἄνθρωπος ἐξομοιοῦσθαι θεῷ, κατὰ τὸ δυνατὸν, πέφυκεν, οὗ ἕνεκα τούς τε ἀντιποιουμένους ταύτης, τούς τε συνηγοροῦντας αὐτῇ, καὶ τῆς συστάσεως ταύτης φροντίζοντας ἄξιον ἐφύπερθεν τῶν ἄλλων γεραίρειν, καὶ ἐκθειάζειν ἄγαν οὐκ ἀπεικός · ἀλλ' ὅσα καὶ οἱ τῆς σοφίας αὐτοὶ ἐρασταὶ θεοφρόνως κινούμενοι φιλεργοῦσιν εἰς ἐπίδοσιν ταύτης, κηδεμονίας ὅτι πλείστης ἀξιοῦν, καὶ κατὰ πάντα καιρὸν καὶ τρόπον περιέπειν, καὶ δεφενδεύειν κατὰ χρέος ὡς ὑπὲρ πᾶν ἀξιόλογόν τε καὶ χρησιμώτερον, εὐκαίρως τοῦτ' αὐτὸ κρίνοντες οἱ ἀνὰ χεῖρας ἐπειλημμένοι τῶν πνευματικῶν τῆς ἐκκλησίας οἰάκων, προθέσεσι καὶ δυνάμεσιν ὅλαις κατατείνεσθαι μεμαθήκασιν.

Ἐπειδὴ τοιγαροῦν καὶ ὁ ἐκλαμπρότατος, εὐσεβέστατος καὶ σοφώτατος αὐθέντης ἐξ ἀπορρήτων τῆς κραταιοτάτης βασιλείας καὶ μέγας

λογοθέτης τῆς καθ' ἡμᾶς μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας, κύριος κύριος Ἀλέξανδρος, ὁ κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς καὶ περιπόθητος τῆς ἡμῶν μετριότητος, πρὸς τοῖς ἄλλοις αὐτοῦ κατορθώμασι, δι' ὧν ἐπωφελὴς ἐγένετο λόγῳ καὶ ἔργῳ τῷ ἡμετέρῳ γένει, καὶ οὗ τὸ κλέος τὴν οἰκουμένην πᾶσαν ἐπέδραμεν, ὄντος ποικίλοις καὶ παντοδαποῖς προτερήμασι καὶ ὑψηλοῖς αὐχήμασι φύσει καὶ τέχνῃ δήπουθεν κεκοσμημένου, ὥστε κοινὸν ἀναφανδὸν ἀγλάϊσμα καὶ ὄφελος ἀναγνωρίζεσθαι χρηματίζει, καθορῶν πολλοὺς τῶν φιλευσεβῶν χριστιανῶν ἔφεσιν μὲν καὶ προθυμίαν κεκτημένους εἰς ἐπίκτησιν τῆς ἀξιεράστου παιδείας καὶ σπουδῆς τῶν γραμμάτων, ἐνδείᾳ δὲ καὶ ἀπορίᾳ τοῦ πρὸς τὸ ζῆν ἀναγκαίων πιεζομένους καὶ δυσχεραίνοντας, ἔγνω δι' ἔμφυτον καὶ ἐμφιλόσοφον αὐτοῦ καλοκαγαθίαν, καὶ ὃν ἔσχηκε πόθον ἐγκάρδιον, κατ' ἔνθεον ζῆλον εἰς προκοπὴν καὶ βελτίωσιν τοῦ οἰκείου γένους, φημί, τῶν φιλοχρίστων καὶ ὁμοπίστων αὐτοῦ χριστιανῶν, παραμυθήσασθαι καὶ ψυχαγωγῆσαι τὴν τούτων ἔνδειαν καὶ δυσχέρειαν. Καὶ δὴ παρέδωκε τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ, λόγῳ δανείου, δύο χιλιάδας καὶ πεντακόσια τῶν γροσίων, μετὰ συμπεφωνημένου διαφόρου, τὰ δέκα πρὸς ἕνδεκα ἥμισυ τὸν χρόνον, ἀφιερώσας ταῦτα τῇ προσκοπῇ καὶ ἐπιδόσει τῶν ὀρεγομένων σπουδῆς καὶ παιδείας, ἅπερ καὶ παραλαβόντες ἡμεῖς συνάμα τοῖς παρευρεθεῖσιν ἱερωτάτοις συναδελφοῖς ἡμῶν ἀρχιερεῦσι, δεδώκαμεν εἰς βακούφικα χρέη τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, χίλια μὲν ἐνενήκοντα τρία γρόσια παρασχόντες ἐξ αὐτῶν εἰς τὸ ὀφειλόμενον κεφάλαιον καὶ διάφορον τοῦ μπεκιὰρ ὄντασι, ὀκτακόσια δὲ ἐνενήκοντα δύο ἥμισυ τῶν γροσίων αὖθις εἰς τὸ κεφάλαιον καὶ διάφορον τοῦ μεγάλου ὀρτᾶ, καὶ τὰ λοιπὰ εἰς ὀφειλόμενον διάφορόν τε, δηλαδὴ τῷ βακουφίῳ τοῦ Ἱμπραὴμ πασᾶ, καὶ εἰς ἀγιλίκιον τοῦ διδομένου ἕνεκα τῷ χάσμπαχτζε κατὰ μῆνα σιτάριον, καὶ ἀπηλλάγημεν τῆς ἐνοχῆς ἐκείνων, ὑποσχόμενοι πληροῦν ἀπαραιτήτως τὸ συμπεφωνημένον τοῦτο διάφορον κατ' ἔτος, ἀνὰ τριακόσια πρὸς τοῖς ἑβδομήκοντα πέντε δηλονότι γροσίοις, περὶ ὧν διετάξατο ἡ φιλευσεβὴς αὐτοῦ ἐκλαμπρότης διαδίδοσθαι τὸ διάφορον τοῦτο, δύο

χιλιάδων καὶ πεντακοσίων γροσίων, τουτέστι τὰ τριακόσια ἑβδομήκοντα πέντε γρόσια τοῖς σπουδάζουσι μαθηταῖς, ἀνὰ εἴκοσι γρόσια ἑκάστῳ κατ' ἔτος, ἤτοι ἀνὰ διακόσια τῶν ἄσπρων κατὰ μῆνα, ἐγχειριζόμενα τούτοις εἰς ἀναγκαίαν αὐτῶν ζωοτροφίαν καὶ περίθαλψιν, ἐφ' οἷς προασπιστὰς καὶ προστάτας καὶ συνηγόρους διωρίσατο εἶναι τοὺς κατὰ καιροὺς χρηματίζοντας τέσσαρας ἱερωτάτους ἐκ τῆς ὁμάδος τῶν καθ' ἡμᾶς ἐγκρίτων συναδελφῶν ἀρχιερέων, τὸν Ἡρακλείας καὶ Ῥαιδεστοῦ δηλονότι, τὸν Κυζίκου, τὸν Νικομηδείας, καὶ τὸν Χαλκηδόνος · πρὸς τούτοις δὲ καὶ σὺν τούτοις ἐπιτηρητὴν ὑπάρχειν ἐπὶ τῷ διὰ φροντίδος ἔχειν τοῦ διανέμεσθαι καὶ ἀποδίδοσθαι τοῖς μαθητευομένοις κατ' ἔτος τὰ τριακόσια ἑβδομήκοντα πέντε γρόσια, καθ' ὃν εἴρηται διορισμὸν, ἀνὰ εἴκοσιν ἑκάστῳ γρόσια ἐτησίως, τὸν ἐπισημότερον καὶ ἐπιφανέστερον τυγχάνοντα ἐκ τοῦ περιφήμου γένους τῆς αὐτοῦ ἐκλαμπρότητος. Ἔτι δὲ διέθετο ὅπως οἱ ἀπολαύοντες τοῦ βοηθήματος τούτου, ὡς εἴρηται, ὀφείλωσιν ὑποσχέσθαι μὴ παραιτήσασθαι τὰς σπουδὰς αὐτῶν καὶ τὴν προκοπὴν καὶ περὶ τὰ μαθήματα ἀσχολίαν, μέχρι τέλους καὶ ἐπικτήσεως πάντων τῶν ἀναγκαίων μαθημάτων · πρὸς δέ γε μὴ μεταπηδᾶν εἰς ἑτέρους περισπασμοὺς, εἶναι δὲ ὡς ἀληθῶς ἐνδεεῖς τοῦ βοηθήματος, καὶ μὴ ὑπηρετοῦντας ἑτέρῳ τινὶ προσώπῳ, ἱερωμένῳ ἢ κοσμικῷ, ἐκλέγεσθαί τε ἀεὶ τοὺς σεμνοτέρους καὶ ἀγχινουστέρους, καὶ μὴ μεσιτείαις χρωμένους, ἀλλὰ τῇ ἰδίᾳ ἐπιτηδειότητι καὶ ἀγαθῇ προθέσει περὶ τὰς ἐπιστήμας προβιβαζομένους. Κἀντεῦθεν ἠξίωσε τὴν ἡμῶν μετριότητα μετὰ καὶ τῆς περὶ αὐτὴν ἱερᾶς τῶν συναδελφῶν ὁμηγύρεως κατασφαλισθῆναι τὴν διάταξιν αὐτοῦ ταύτην, καὶ ἐπιβεβαιωθῆναι καὶ διὰ γράμματος ἐκκλησιαστικοῦ συνοδικοῦ σιγιλλιώδους · οὗ τὴν ἀξίωσιν ἐπαινετὴν καὶ ἀξίαν ὑποδοχῆς οὖσαν, ὡς πρὸς ἐπίδοσιν τοῦ θεοδωρήτου χρήματος, τῆς τῶν γραμμάτων σπουδῆς καὶ παιδείας, τῆς καὶ ἀρχιθέου σοφίας χρησιμεύουσαν, ναὶ μὴν καὶ τὴν ἔνδειαν τῶν προσφοιτώντων μαθήσεως καὶ προκοπῆς ἕνεκα θεραπεύουσαν, καὶ τῆς τούτων βελτιώσεως καὶ τελειότητος παραίτιον τυγχάνουσαν, προσηνῶς καὶ μετὰ πάσης εὐφημίας καὶ ἐγκωμίων ἀποδεξάμενοι,

γράφομεν καὶ ἀποφαινόμεθα, γνώμῃ κοινῇ συνοδικῇ, μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν, ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα διάταξις τοῦ ἐκλαμπροτάτου καὶ σοφωτάτου αὐθέντου ἐξ ἀπορρήτων τῆς κραταιοτάτης βασιλείας ἔχῃ τὸ κῦρος καὶ τὴν ἰσχὺν διὰ παντὸς ἀμετάπτωτον καὶ ἀπαράτρεπτον, ὀφειλόντων ἡμῶν τε καὶ τῶν κατὰ καιροὺς οἰκουμενικῶν πατριαρχῶν, μετὰ καὶ τῆς ἱερᾶς τῶν συναδελφῶν ἀρχιερέων ὁμηγύρεως, πληροῦν ἐκ τῶν εἰσοδημάτων τῆς καθ' ἡμᾶς τοῦ Χ. Μ. ἐκκλησίας, τῶν εἰρημένων δύο χιλιάδων καὶ πεντακοσίων γροσίων τὸ συμπεφωνημένον κατ' ἔτος διάφορον, ἀνὰ τριακόσια ἑβδομήκοντα πέντε τῶν γροσίων ἀπαραιτήτως, σωζομένου ἀεὶ καὶ διαμένοντος τοῦ κεφαλαίου τῶν αὐτῶν ἄσπρων ὁλοκλήρου καὶ ἀπαραμειώτου · κατ' ἐκείνην, προασπισταὶ καὶ προστάται, ὡς διείληπται, ὑπάρχωσιν οἱ διορισθέντες τέσσαρες ἱερώτατοι ἔγκριτοι τῶν συναδελφῶν ἀρχιερέων, ἤτοι ὁ Ἡρακλείας καὶ Ῥαιδεστοῦ, ὁ Κυζίκου, ὁ Νικομηδείας καὶ ὁ Χαλκηδόνος, συνηγοροῦντες καὶ φροντίζοντες τῆς κατ' ἔτος ἐκπληρώσεως τῶν ἀνὰ τριακοσίων πρὸς τοῖς ἑβδομήκοντα πέντε γροσίων τοῦ συμπεφωνημένου διαφόρου τῶν δύο χιλιάδων καὶ πεντακοσίων γροσίων · καὶ πρὸς τούτοις δὲ, καὶ σὺν τούτοις, ἐπιτηρητὴς καὶ ἐπιστάσης εἴηται καὶ γινώσκηται ὁ ἐπισημότερος καὶ ἐπιφανέστερος ἐκ τοῦ ἐνδόξου καὶ εὐκλεοῦς γένους τῆς αὐτοῦ ἐκλαμπρότητος καταγόμενος, δι' ἐπιμελείας καὶ φροντίδος ἔχων ἀκαταπεύστως εἰς τὸ διανέμεσθαι καὶ διαδίδοσθαι τοῖς μαθηταῖς τὰ πληρούμενα παρὰ τῆς Μ. ἐκκλησίας κατ' ἔτος, χάριν τοῦ συμπεφωνημένου διαφόρου τριακόσια ἑβδομήκοντα πέντε γρόσια, καθ' ὃν προείρηται διορισμὸν, ἐπὶ ζωοτροφίᾳ καὶ ἀναγκαίᾳ τούτων χρείᾳ. Καὶ μηδείς ποτε τολμήσῃ συγχύσαι καὶ διασεῖσαι τὰ ἐν τῷ παρόντι γεγραμμένα · ὡς δ' ἂν τῶν πάντων κακοβούλως κινούμενος βουληθῇ ὁπωσδήπως ἀνατρέψαι τὰ καλῶς καὶ θεοφιλῶς ταῦτα διαταχθέντα καὶ ἀποφανθέντα, ὁ τοιοῦτος, ὁποίας ἂν εἴη τάξεως καὶ ὁποίου βαθμοῦ, ὡς τῆς τοῦ γένους ὠφελείας ἀναιρέτης, καὶ τοῦ καλοῦ ἐπίβουλός τε καὶ βάσκανος, ἀφοριζέσθω. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ ἀσφά-

λειαν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις ἐπιβεβαιωτήριον γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μ. ἐκκλησίας κώδηκι.

Ἐν ἔτει σωτηρίῳ ᾳψθ', μηνὶ νοεμβρίῳ, ἰνδικτιῶνος γ'.

(Κώδηξ δεύτερος Κριστίου, σελ. 200-206.)

7

Ἄξιον ὄντως καὶ δίκαιον, οὐχ ἧττον εἰπεῖν καὶ ἀναγκαῖον, οὐ μόνον ἐπαίνοις καὶ παντοίοις ἐγκωμίοις εἰς ὕψος ἐπαίρειν ἡμᾶς τὰ θεοφιλῆ ἔργα, ὅσα κατὰ θεῖον σκοπὸν παρὰ τῶν φιλευσεβῶν ἐξεργάζεται, ἀλλά γε δὴ καὶ συνιστᾶν ταῦτα, καὶ κρείττονι τῆς ἐκκλησίας δυνάμει κρατύνειν. Τῷ γὰρ τρόπῳ τούτῳ τά τε καλὰ εἰς ἐπιδοσίν τε προχωρεῖ καὶ συντηρεῖται διὰ παντὸς ἀμετάπτωτα, καὶ ἡ τῶν εὐσεβῶν διεγείρεται προθυμία, δι' ὧν ἡ ψυχικὴ σωτηρία καὶ ἡ τρισόλβιος κατ' αὐτὴν ἀπόλαυσις τῶν ἀνεκλαλήτων ἀγαθῶν τῆς διαιωνιζούσης βασιλείας τῶν οὐρανῶν σφίσιν ἐπιμνηστεύεται.

Ἐπειδὴ τοιγαροῦν καὶ ὁ ἐκλαμπρότατος, εὐσεβέστατος καὶ σοφώτατος αὐθέντης ἐξ ἀπορρήτων τῆς κραταιοτάτης βασιλείας, ὁ καὶ μέγας λογοθέτης τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κύριος κύριος Ἀλέξανδρος, ὁ κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς καὶ περιπόθητος τῆς ἡμῶν μετριότητος, ἐνδόξῳ καὶ φιλοσόφῳ πολιτείᾳ παρὰ πᾶσιν ἐμπρέπων, καὶ πολλοῖς ἄλλοις προτερήμασι καὶ ὑψηλοῖς αὐχήμασι κομῶν καὶ βρύων ὡς ἀληθῶς, καὶ οὗ τὸ κλέος, ὡς εἰπεῖν, ᾄδεται ἐφ' ἅπασαν τὴν οἰκουμένην, πρὸς ταῖς λοιπαῖς αὐτοῦ εὐποιΐαις καὶ ἀγαθοεργίαις, δι' ὧν καὶ ἄλλοτε πολλάκις λόγῳ καὶ ἔργῳ ὑπέρμαχος καὶ ἐπωφελὴς ἐφάνη τοῖς συμπολιτευομένοις αὐτοῦ ὁμοπίστοις χριστιανοῖς, καὶ πρὸς τοὺς ἐνδεεῖς φιλοικτίρμων, ἐπιμετρήσας εὐμενῶς, ἐξ ὧν ηὐπόρησε παρὰ θεῷ ἀγαθῶν ἀφιερώσατο καὶ τὰ νῦν αὖθις εἰς ἀναγκαίαν χρείαν καὶ περίθαλψιν ἀρχοντοπουλῶν τινῶν τῆς θηλείας φύσεως, ἐνδείᾳ τῶν ἀναγκαίων πιεζομένων, χίλια τῶν

γροσίων, περὶ ὧν διετάξατο δίδοσθαι ταῦτα σὺν τόκῳ μετρίῳ, χάριν ἀσφαλείας, τὰ δέκα πρὸς ἕνδεκα δηλαδὴ τὸν χρόνον, εἰς τόπους καὶ πρόσωπα χρείαν ἔχοντα δανεισθῆναι, ἀξιόπιστα μέντοι καὶ ἀξιόχρεα, ὥστε πρὸς τὸ μὴ παρακινδυνεύειν τὸ κεφάλαιον εὐχερῶς καὶ τὸ κατ' ἔτος πληροῦσθαι διάφορον, ὅπερ διάφορον ἑκατὸν ὄντα δηλονότι εἰς τέσσαρα διωρίσατο διανέμεσθαι μέρη, καὶ χορηγεῖσθαι ταῦτα κατ' ἔτος ἐνδεέσιν ἀρχοντοπούλαις, ὡς εἴρηται, τῶν φιλευσεβῶν ἀνὰ ἓν μέρος ἑκάστῃ, τὸ ἀναλογοῦν δηλαδὴ κατὰ μῆνα ταύταις ἐγχειριζόμενον ἀπαραιτήτως, ἢ καὶ ἀνὰ ἓν μὲν καὶ ἥμισυ μέρος ταῖς ἐνδεεστέραις, καὶ αἷς μᾶλλον τῶν ἄλλων ἄξιαι ἀπολαύειν τοῦ τοιούτου βοηθήματος · ἀνὰ ἥμισυ δὲ μέρος ταῖς ἄλλαις, πρὸς ἀναγκαίαν αὐτῶν ζωοτροφίαν τε καὶ κυβέρνησιν. Πρὸς τούτοις δ' ἔγνω παραχωρῆσαι τῇ ἐκ τῶν ἐνδόξων αὐτοῦ θυγατέρων ἀρχοντίσσῃ κυρίᾳ Ῥωξάνδρᾳ, συνέσει καὶ χριστιανικῇ εὐλαβείᾳ, ναὶ μὴν καὶ φυσικῇ ἐπιτηδειότητι θεόθεν διαπρεπούσῃ, μετ' εὐκοσμίας καὶ σταθεροῦ τοῦ φρονήματος τῆς ἐπιστασίας, καὶ διηνεκοῦς διοικήσεως τῶν χιλίων τούτων γροσίων, καὶ τῆς ἀπὸ τοῦ διαφόρου τούτων αὐτῶν κατὰ ἀναλογίαν ἐτησίου χορηγίας πρὸς τὰς ἐνδεεῖς τῶν ἀρχοντοπουλῶν, δεδωκὼς αὐτῇ εἰς τοῦτο πᾶσαν ἄδειαν καὶ ἐξουσίαν, ἣν καὶ ἀποκατέστησεν ἐπὶ τούτοις τελείαν καὶ καθολικὴν ἐπίτροπον καὶ διοικήτριαν, ὡς ἀξιόλογον, καὶ ἐχέφρονα, καὶ φιλευσεβῆ, ὀφείλουσαν ἔχειν ἐσαεὶ τὴν φροντίδα καὶ ἐπιμέλειαν τῆς τοιαύτης ἐπιστασίας καὶ κηδεμονίας. Κἀντεῦθεν ἠξίωσεν ἡμᾶς καὶ πατριαρχικῷ γράμματι ἐπικυρῶσαι τὴν ἀφιέρωσιν ταύτην καὶ διάταξιν, καθ' ἣν ἔσχηκεν ἡ ἐκκλησία τάξιν τε καὶ συνήθειαν ἀντιλαμβάνεσθαι τῶν θεοσεβῶν ἔργων, ὅσοι οἱ εὐσεβεῖς καὶ φιλόχριστοι θεόφρονι φρονήματι φιλεργοῦσι, καὶ κρείττονι ταύτης δυνάμει κατοχυροῦν ἐπὶ διαμονῇ κραταιᾷ.

Τούτου χάριν τὴν ἀξίωσιν τῆς φιλευσεβοῦς αὐτοῦ ἐκλαμπρότητος ἐπαινετὴν καὶ εὔλογον οὖσαν, καὶ φίλην θεῷ, προσηνῶς ἀποδεξάμενοι, γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, μετὰ τῶν περὶ ἡμᾶς ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα διάταξις περὶ τῆς εἰρημένης εὐποιΐας τοῦ ἐκλαμπροτάτου καὶ σοφω-

τάτου αὐθέντου ἐξ ἀπορρήτων τῆς κραταιοτάτης βασιλείας, καὶ ἡ κατ' ἐκείνην πρὸς τὴν ἐνδοξοτάτην αὐτοῦ θυγατέρα ἀρχόντισσαν κυρίαν Ῥωξάνδραν ἐπιτροπὴ καὶ ἐπιστασία καὶ διοίκησις ἔχῃ τὸ κῦρος καὶ τὴν ἰσχὺν μόνιμον καὶ ἀμετάθετον ἀκαταπαύστως, ἥτις ἀρχόντισσα ὀφείλει διὰ φροντίδος καὶ ἐπιμελείας ἔχειν ἀπαραιτήτως εἰς τὸ διοικεῖν τὰ ἀφιερωθέντα, ὡς διείληπται, χίλια γρόσια καὶ διανέμειν τὸ ἀπὸ τούτων διάφορον, καθ' ὃν εἴρηται διορισμὸν, ταῖς ἐνδεέσι τῶν φιλευσεβῶν ἀρχοντοπουλῶν, ὑπὲρ ψυχικῆς σωτηρίας καὶ μακαρισμοῦ τοῦ ἐκλαμπροτάτου φιλευσεβοῦς αὐτῆς γεννήτορος.

Ὅθεν εἰς ἔνδειξιν καὶ ἀσφάλειαν τῆς διαληφθείσης ἐπικυρώσεως τῶν ἐν τῷ παρόντι γεγραμμένων ἐξεδόθη καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν ἐπιβεβαιωτήριον γράμμα τῇ διαληφθείσῃ ἀρχοντίσσῃ κυρίᾳ Ῥωξάνδρᾳ.

Ἐν ἔτει σωτηρίῳ ᾳψθ'.

(Κώδηξ δεύτερος Κριτίου, σελ. 91-93.)

8

Μαριῶρα, σύζυγος τοῦ ποτὲ Χρυσοσκουλαίου, ἀφιερόνει τὸ ὀσπίτιον αὐτῆς εἰς τὸν μητροπολίτην Ἡρακλείας καὶ Ῥαιδεστοῦ.

Τὰ κατὰ θεῖον σκοπὸν τοῖς εὐσεβέσι φιλεργούμενα καλά τε πάντως ἐστὶ καὶ ἐπαινετὰ, καὶ θεόθεν τὴν ἀντιμισθίαν τοῖς φιλεργοῦσι ταῦτα ἐπιμνηστεύεται. Διὸ καὶ πρὸ πάντων τίθεναι κατὰ πάντα λόγον ὀφείλομεν, αὐτὰ δὴ ταῦτά φημι τὰ πρὸς θεὸν ἀναφερόμενα, καὶ πᾶσι τρόποις, ὡς εἰκὸς, ἐκθειάζειν καὶ μεγαλύνειν αὐτὰ ἄξιον, συνιστᾶν τε ἅμα καὶ βεβαιοῦν ὅση δύναμις · τῶν γὰρ ἐπ' ὀνόματι θεοῦ πραττομένων, οὐδὲν ἄλλο σεβασμιώτερόν τε καὶ σωτηριωδέστερον πέφυκεν. Ὅπου γε καὶ τὰ πάντα διὰ παντὸς ὅσα περ ἂν βίῳ πράττωμεν, εἰς δόξαν θεοῦ ποιεῖν γραφικῶς διδασκόμεθα, ἀνθ' ὧν καὶ ἡ τῶν ὀρθοδόξων εὐλάβεια, μετὰ σπουδῆς καὶ προθυμίας οὐκ ἐπαύσατο

ἀπαρχὰς τῷ θεῷ προσφέρειν κατὰ καιροὺς ἐκ τῶν ἐπιχορηγηθέντων αὐτοῖς πάλιν παρὰ τοῦ θεοῦ ἀγαθῶν, θεῷ τὰ ἐκ θεοῦ πορισάμενοι μετ' εὐχαριστίας προσάγοντες, καὶ καλὴν ἀνταλλαγὴν, ὡς ἀληθῶς, τοῦτο ἡγούμενοι, ὅπως δηλαδὴ διὰ τῶν προσκαίρων καὶ ῥευστῶν τὰ ἄφθαρτα καὶ ἀεὶ διαμένοντα προσπορίσωνται.

Ἐπειδὴ τοιγαροῦν καὶ ἡ τιμιωτάτη καὶ εὐλαβεστάτη ἀρχόντισσα κυρία Μαριῶρα, σύζυγος τοῦ ἐν μακαρίᾳ τῇ λήξει Χρυσοσκουλαίου χρηματίσασα, φιλοθέῳ σκοπῷ κινουμένη, οἷα φιλευσεβὴς γυνὴ καὶ φιλόχριστος, σεμνοπρεπείᾳ τε καὶ χριστιανικῇ εὐλαβείᾳ ἐπιεικῶς διαπρέπουσα, ἀνήγγειλεν ἡμῖν καὶ ἐδηλοποίησεν ὅτι ἔχουσα οἰκεῖον αὐτῆς κτῆμα, ὁσπίτιον δηλαδὴ, ἐν τῇ ἐνορίᾳ τῆς ὑπεραγίας ἡμῶν Θεοτόκου Μαγουλιωτίσσης κείμενον, ἐν' ᾧ αὐτὴ κάθηται, (ὅπερ ἐκ μὲν τοῦ ἑνὸς μέρους γειτνιάζον ἔσχηκε τὸ ὁσπίτιον τοῦ ποτὲ Γιωβάννου πραγματευτοῦ Πλάτζικου τοὐπίκλην · ἐκ δὲ τῶν ἐπιλοίπων τριῶν μερῶν ὑπάρχει πορεία καὶ δρόμος), ἀφιέρωσεν ἐκεῖνο εἰς τὸν ἁγιώτατον μητροπολίτην Ἡρακλείας καὶ Ῥαιδεστοῦ αὐτοθελῶς καὶ ἀδιάστως, ὑπὲρ ψυχικῆς σωτηρίας καὶ ἀκαταπαύστου μνημοσύνου αὐτῆς τε καὶ τοῦ συζύγου αὐτῆς, ῥηθέντος Χρυσοσκουλαίου, ἐπιβεβαιώσασα τὴν ἀφιέρωσιν ταύτην διὰ τοῦ γράψαι ἤδη ἐκεῖνο τὸ ὁσπίτιον αὐτῆς, καὶ διὰ χοτζετίου τῆς βασιλικῆς κρίσεως, ἐπάνω τοῦ νῦν ἀρχιερατεύοντος ἐν τῇ μητροπόλει ταύτῃ, ἱερωτάτου μητροπολίτου Ἡρακλείας καὶ Ῥαιδεστοῦ προέδρου τῶν ὑπερτίμων καὶ ἐξάρχου πάσης Θρᾴκης καὶ Μακεδονίας κὺρ Νεοφύτου, ἐπὶ διορισμῷ καὶ συμφωνίᾳ ἀμεταθέτῳ καὶ ἀπαρασαλεύτῳ τοῦ καθῆσθαι μὲν αὐτὴν ἐν τῷ αὐτῷ ὁσπιτίῳ, ἐφ' ὅρῳ ζωῆς αὐτῆς, μηδενός ποτε ἔχοντος ἄδειαν διασεῖσαι αὐτὴν, καὶ μετακινῆσαι, καὶ ἐκβαλεῖν ἐκ τοῦ αὐτοῦ ὁσπιτίου, οὔτε τῶν κατὰ καιροὺς ἀρχιερέων τῆς μητροπόλεως ταύτης, οὔτε μὲν ἄλλου τινός · μετὰ δὲ τὴν ἀποβίωσιν αὐτῆς, εἶναι καὶ διαμένειν τὸ αὐτὸ ὁσπίτιον ὑπὸ τὴν τελείαν ἐξουσίαν καὶ δεσποτείαν τῆς μητροπόλεως, καὶ εἰς χρῆσιν τῶν κατὰ καιροὺς ἀρχιερέων, τοῦ τε νῦν ἀρχιερατεύοντος δηλονότι κὺρ Νεοφύτου, καὶ τῶν μετὰ τὴν αὐτοῦ ἱερότητα διαδεξομένων τὴν ἀρχιερατικὴν προστασίαν τῆς

αὐτῆς μητροπόλεως. Προσέτι διωρίσθη καὶ διδόναι αὐτόν τε τὸν κὺρ Νεόφυτον, καὶ τοὺς μετ' αὐτὸν χρηματίσοντας ἀρχιερεῖς ἐν τῇ αὐτῇ μητροπόλει, τῷ ἱερῷ μοναστηρίῳ (Λείπουσί τινα).

(Κώδηξ δεύτερος Κριτίου, σελ. 120-122.)

9

Λόγος προσφωνηθεὶς παρὰ τοῦ μεγάλου ἐκκλησιάρχου διδασκάλου Κριτίου κατὰ τὴν κοινὴν κυριακὴν τοῦ ἀντιπάσχα, ἐν τῇ λαμπροτάτῃ εὐωχίᾳ τῶν εὐδοκίᾳ θεοῦ συντελεσθέντων γάμων τῆς ἐκλαμπροτάτης δομνίτζης κυρίας Σμαράγδας, καὶ φιλτάτης θυγατρὸς τοῦ ὑψηλοτάτου καὶ θεοσεβεστάτου αὐθέντου καὶ ἡγεμόνος Οὐγγροβλαχίας κυρίου κυρίου Γρηγορίου βοεβόδα Γκίκα, συγκροτηθείσῃ ἐν τῷ ἐνδόξῳ ἀρχοντικῷ τοῦ ἐνδοξοτάτου καὶ πανευγενεστάτου ἄρχοντος μεγάλου λογοθέτου καὶ γενικοῦ ἑρμηνέως κυρίου Ἀλεξάνδρου ἐπὶ παρουσίᾳ δύο ἁγιωτάτων πατριαρχῶν, τοῦ τε Κωνσταντινουπόλεως κὺρ Νεοφύτου, καὶ Ἱεροσολύμων κὺρ Μελετίου, καὶ τῶν τιμιωτάτων καὶ εὐγενεστάτων ἀρχόντων, καὶ τῶν ἐνδημούντων ἁπάντων θεοπροβλήτων ἀρχιερέων τῆς βασιλευούσης τῶν πόλεων, καὶ τῶν ἑρμηνέων ἁπάντων τῶν ἐξοχωτάτων πρέσβεων τῶν ἐνδημούντων ἐν τῇ βασιλίδι ταύτῃ.

Διττὴν ὑπόθεσιν προστησαμένῳ τοῦ λόγου, παναγιώτατε καὶ σεβασμιώτατε ἡμῶν αὐθέντα καὶ δέσποτα καὶ οἰκουμενικὲ πατριάρχα, μακαριώτατε καὶ ἁγιώτατε πατριάρχα τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, σὺν τῇ ἱερᾷ τῶν συνεδριαζόντων ἀρχιερέων ὁμηγύρει, καὶ γάμον λαμπρότατον ἐκτελούμενον ἐφυμνήσοντι, καὶ τοὺς συγκροτοῦντας αὐτὸν, κατά γε τὸ ἐμοὶ ἐφικτὸν, καὶ ἐγκωμίων ἄνθεσιν ἀναδήσοντι, εἴησάν μοι ἀρωγαὶ, μετὰ τὴν ἐξ ὕψους βοήθειαν, αἱ θεοπειθεῖς εὐχαὶ τῆς ὑμετέρας παναγιότητος καὶ μακαριότητος, ὡς δι' αὐτῶν βοηθούμενος μὴ κατόπιν πάμπαν ἀπολειφθῆναι τοῦ σκοπουμένου, μηδὲ πόρρω τῆς ἀξίας ἐλθεῖν, ἀλλ' εἰπεῖν μετρίως γοῦν καὶ ὅσα τῇ ὑποθέσει καὶ τῇ παρούσῃ συνελεύσει οἰκεῖά τε καὶ συμβαίνοντα. Ὁ φύσει πολυέλεος καὶ ὑπεράγαθος κύριος ὑπὸ μὲν τοῦ πλούτου τῆς

ἑαυτοῦ ἀγαθότητος κεκινημένος, ῥήματι μόνῳ, τόδε τὸ πᾶν ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος ὑπεστήσατο, ἐφ' ᾧ μετασχεῖν καὶ τὰ κτίσματα τῆς ἑαυτοῦ εὐεργεσίας καὶ χάριτος, κατὰ τὸν ἐν θεολογίᾳ μέγαν Γρηγόριον, οὐκ ἤρκει τῇ θείᾳ φύσει φάσκοντα, τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χεθῆναι τὸ ἀγαθὸν ὡς πλείονα ἢ τὰ εὐεργετούμενα · τῷ δὲ εὐμηχάνῳ τῆς σοφίας καὶ τῇ δυνάμει τῆς προνοίας τοῖς δημιουργηθεῖσιν ἅπασι τὸ ἐφαρμόζον εἶδος, καὶ κάλλος ἐνέθηκεν ὡς ἐν μηδενὶ ἐλλείπειν ὑπερβολήν τινα τῆς καλλίστης τοῦ ἀριστοτέχνου διατάξεώς τε καὶ διακοσμήσεως. Καὶ γὰρ εἶδε, φησίν, ὁ θεὸς πάντα ὅσα ἐποίησε καὶ καλὰ λίαν.

Ἀπαρτισθείσης οὖν ἁπάσης τῆς φαινομένης καὶ νοουμένης κτίσεως, τελευταῖος ὁ ἄνθρωπος κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἑαυτοῦ τῷ πανσόφῳ καὶ ὑπεραγάθῳ θεῷ ἰδίαις χερσὶ διαπλάττεται, κἀπὶ τῇ τοῦ γένους διαδοχῇ, προνοίᾳ θεϊκῇ, τὴν γυναῖκα λαμβάνει, ἐκ τῆς οἰκείας πλευρᾶς μορφωθεῖσαν ἑαυτῷ βοηθὸν ἅμα καὶ σύνοικον, ὡς ἐκ τῆς συνδρομῆς καὶ συμφυΐας τοῦ ἄρρενός τε καὶ θήλεως τὴν τοῦ εἴδους ὁλοκληρίαν συναπαρτίζεσθαι, καὶ τῆς ἐξ ἐπιτάγματος θείου εὐχῆς ἐν μεθέξει γενέσθαι τοῦ αὐξάνεσθαι καὶ πληθύνεσθαι καὶ παραπέμπειν εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα ἀνέκλειπτα τὰ τῆς ἀνθρωπίνης φύσεως σπέρματα, καὶ συντηρεῖσθαι τὸ εἶδος μετὰ τὴν ἐκ παραβάσεως ἔκπτωσιν τῇ τῆς ἐπιμιξίας ταύτης ἐν νόμῳ καὶ θεοκελεύστῳ περιπλοκῇ. Οὕτως οὖν ἄνωθεν, καὶ ἐξ αὐτῆς τῆς πρώτης διαπλάσεως, τῇ προνοίᾳ τοῦ δημιουργοῦ, τοῦ γάμου εἰς τὸν βίον τῶν ἀνθρώπων παρεισαχθέντος, καὶ θείῳ νόμῳ διαταχθέντος τῇ διττῇ τοῦ γένους δημιουργίᾳ, ἄρσεν γὰρ, φησὶ, καὶ θῆλυ ἐποίησεν αὐτόν · καὶ ὁ θεάνθρωπος Ἰησοῦς βουλόμενος ἀναπλάσαι τὴν φθαρεῖσαν φύσιν ἡμῶν τῇ διὰ σαρκὸς αὐτοῦ ἐν κόσμῳ ἐπιδημίᾳ πρὸς τοῖς ἄλλοις, δι' ὧν λόγοις τε καὶ ἔργοις, καὶ ὑποδείγμασι, καὶ ὑπερφυῶν θαυμάτων μεγαλουργίᾳ, τοὺς μεμυημένους παρ' αὐτῷ ἐξεπαίδευε, καὶ ἐν Κανᾷ τῆς Γαλιλαίας ἐλθὼν τὸν γάμον εὐλόγησε, καὶ τῇ τοῦ ὕδατος εἰς οἶνον μεταβολῇ τὸ πρῶτον τῶν ἑαυτοῦ θαυμάτων ὑπέδειξεν. Ἐπεὶ γὰρ τῶν ἡμετέρων ἀνάπλασιν φιλαγάθως

ἐπραγματεύσατο, ἵνα καὶ τῆς πρώτης πλάσεως δημιουργὸν αὐτὸν ἀποδείξῃ, εἰκότως καὶ τὴν πρώτην νομοθεσίαν ἐπεβεβαίωσε, καὶ τὴν τοῦ γένους διαδοχὴν διὰ τοῦ ἐννόμου γάμου συντηρουμένην τῇ ἑαυτοῦ παρουσίᾳ, καὶ εὐλογίᾳ, καὶ πρώτῃ θαυματουργίᾳ τετίμηκε. Συνῳδὰ τῷ δεσπότῃ καὶ διδασκάλῳ καὶ τῶν μαθητῶν καὶ ἀποστόλων ὁ μέγιστος, ὁ θεσπέσιος Παῦλος διαρρήδην βοᾷ : τίμιος, λέγων, ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος. Ταύτῃ τοι καὶ ἡ ἁγία τοῦ Χριστοῦ ἐκκλησία, καὶ ἡ καθ' ἡμᾶς ἱερὰ ἁγιστεία τὸ τοῦ ἐννόμου γάμου τίμιον, ἀναγκαῖόν τε καὶ ὠφέλιμον συνιδοῦσα, καὶ ἐπιγνοῦσα, καὶ διαφερόντως τετιμηκυῖα, μυστήριον ἱερὸν καὶ θεῖον αὐτὸν διετάξατό τε καὶ διωρίσατο, καὶ τελετῇ ὁσίᾳ σεπτῶς ὀργιάζειν παρέλαβε.

Τούτῳ γοῦν τῷ θείῳ νόμῳ ἄνωθεν μὲν ἐξενεχθέντι, παρὰ δὲ τοῦ πατρὸς εὐλογίας ἠξιωμένῳ, καὶ ἀποστολικαῖς διατάξεσι, καὶ ἐκκλησιαστικῇ νομοθεσίᾳ κεκυρωμένῳ συστοιχῶν καὶ ἑπόμενος ὁ ἐκλαμπρότατος, ὑψηλότατος καὶ εὐσεβέστατος αὐθέντης καὶ ἡγεμὼν πάσης Οὐγγροβλαχίας, κύριος κύριος Γρηγόριος Γκίκα βοεβόδας, τὴν ἐκλαμπροτάτην καὶ εὐγενεστάτην δομνίτζαν κυρίαν Σμαράγδαν, καὶ φιλτάτην θυγατέρα αὐτοῦ, ἐκδίδωσι σήμερον ἀνδρὶ νομίμῳ, τῷ εὐγενεστάτῳ ἄρχοντι μεγάλῳ καμαράσῃ κυρίτζῃ Ἰωαννάκῃ Βλαστῷ, καὶ εἰς ἔννομον κοινωνίαν γάμου κατὰ τὸν τύπον τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας συνάπτει, καὶ συναρμόττει τοὺς νεονύμφους εὐτυχῶς, καὶ αἰσίως, καὶ ἐπ' ἀγαθοῖς ὄρνισι, λαμπρᾷ καὶ περιδόξῳ τελετῇ γάμων ἡγεμονικῶς συντελουμένων ἐν τῷ περιβλέπτῳ παλατίῳ τῆς αὐτοῦ ἡγεμονίας. Ἐπεὶ δὲ δι' ἐφέσεως ἦν τῇ αὐτοῦ ὑψηλότητι καὶ θειοτάτων πατριαρχῶν, καὶ θεοπροβλήτων ἀρχιερέων εὐχαῖς καὶ εὐλογίαις τοὺς νεονύμφους ἐφοδιασθῆναι, καὶ τὴν βασιλίδα ταύτην τῶν πόλεων ὡς ἐνεγκοῦσαν αὐτὸν συναπολαῦσαι τῆς τελετῆς, τόν τε ἐνδοξότατον καὶ πανευγενέστατον ἄρχοντα μέγαν λογοθέτην τῆς τοῦ Χριστοῦ Μ. ἐκκλησίας, καὶ γενικὸν ἑρμηνέα τῆς κραταιᾶς βασιλείας, κύριον κύριον Ἀλέξανδρον, τὸν καὶ αὐτάδελφον φίλτατον τῆς αὐτοῦ ὑψηλότητος, ἐπιποθοῦντα μὲν, μὴ δυνάμενον δὲ συμπαρεῖναι τοῖς τελουμένοις σαρκικῶς διὰ τὴν ἀναγκαίαν τοῦ τόπου

ἀπουσίαν καὶ διάστασιν, ἐφ' ᾧ καὶ τὴν αὐτοῦ ἐνδοξότητα, συνάμα τοῖς λοιποῖς εὐγενέσιν ἄρχουσι καὶ συγγενέσι καὶ φίλοις ἐκ τῶν ἐνόντων συνευφρανθῆναι, καὶ τὸν πόθον ἀμφοτέρων ἐκπληρωθῆναι ἀξιώσει τῆς αὐτοῦ ὑψηλότητος, συνεπινεύσασα προθύμως καὶ ἡ αὐτοῦ ἐνδοξότης, ἀνεδέξατο ἀσμένως τὴν ἐπιτροπὴν καὶ ἐπιστασίαν τοῦ πράγματος καὶ εἰς τύπον τῆς ἐκεῖσε νυμφικῆς περιδόξου παστάδος τὸ πολυτελέστατον τοῦτο δεῖπνον ἁβροτάτῃ ποικιλίᾳ καὶ ἀφθονίᾳ ἀγαθῶν ἁπάντων, ὧν φέρει γῆ τε καὶ θάλασσα, δαψιλῶς καὶ πολυτελῶς ἐξειργασμένων μεθ' ὅσης ἐπιμελείας εἰς κάλλος καὶ πλῆθος ἡδονῶν ἐξησκημένων εἰς μετουσίαν ἡμῖν προτίθεται, καὶ λαμπροτάτων καὶ περιφανεστάτων καὶ ὡς οὐδέποτε ἄλλοτε μνημονευομένην εὐωχίαν παρασκευασάμενος, συνδαιτυμόνας τοὺς ἀρίστους τῆς βασιλίδος καὶ ἐκ τοῦ καθ' ἡμᾶς γένους προὔχοντας, ἀπό τε τῆς ἐκκλησίας ἀπό τε τῆς πολιτείας, συνεκαλέσατο. Ἐν πρώτοις μὲν οὖν τὴν ὑμετέραν σεβασμιωτάτην παναγιότητα καὶ τὴν ὑμετέραν ἁγιωτάτην μακαριότητα, σὺν τῷ περιεστῶτι ἱερῷ τῶν ἀρχιερέων συλλόγῳ, μεθ' ὅσης υἱϊκῆς εὐλαβείας καὶ πνευματικῆς ἀγάπης, δεξιοῦται φιλοφρόνως καὶ αἰδημόνως, καὶ θερμῶς ἀντιβολεῖ ὅπως ταῖς ἱεραῖς καὶ θεοπειθέσιν ὑμῶν εὐχαῖς, τὴν λαμπρὰν ταύτην καὶ εὐκλεῆ ξυνωρίδα τῶν νεονύμφων καταρτίσητε καὶ στηρίξητε εἰς κοινωνίαν ὁμότροπον, καὶ ἐπεύξησθε πατρικῶς ὅσα ψυχῇ τε καὶ σώματι ἑκατέρων σύμφορα· τοὺς δὲ συνελθόντας εὐγενεῖς ἄρχοντας φιλικῶς ἐξαιτεῖται συνεφάψασθαι τῶν ὑμετέρων ἱερῶν εὐχῶν, κοινῇ τε καὶ ὁμοφώνῳ στοργῇ συνεπευχηθῆναι καὶ συνεπικροτῆσαι τὸν λαμπρὸν τοῦτον καὶ παναίσιον ὑμέναιον. Ἀλλ' ἵνα τὰ τῆς εὐχῆς ὁδῷ χωροίη, καὶ καθ' εἱρμὸν καὶ θεῖον νόμον πληρώσωμεν τὰς ἀπαρχὰς τῶν ἐπαίνων τοῖς γονεῦσιν ἀποδιδόναι κελεύοντα, καὶ ἡμῖν ἄρα πρῶτον τὸν διὰ λόγου εὐφημίας τοῖς τεκοῦσι προσενεκτέον πρότερον, εἰ καὶ μὴ τὴν κατ' ἀξίαν οὔτε τοῦ καιροῦ συγχωροῦντος, οὔτε τῆς ἡμετέρας ἐφικνουμένης δυνάμεως, μετρίως γοῦν, καὶ ὅσον τὸν ἡμέτερον πόθον ἀφοσιώσασθαι. Λαμπρὰ μὲν οὖν καὶ πάσης εὐφημίας κρείττω, καὶ τὴν ἡμετέραν ὑπερπαίοντα γλῶττάν τε καὶ διάνοιαν, τὰ τοῦ μεγαλοπρε-

πεστάτου ἡγεμόνος Οὐγγροβλαχίας αὐχήματα · καὶ γὰρ ἄνωθεν ἐκ προγόνων ἐπιλάμπει τῇ αὐτοῦ ὑψηλότητι τὰ τῆς ἡγεμονικῆς εὐκλείας καὶ εὐδοξίας ἐξ ἑκατέρου γένους ἐπίσημα. Τίς γὰρ οὐκ οἶδεν, ἢ ἀκοῇ οὐ παρείληφε Γκίκαν βοεβόδαν καὶ Γρηγοράσκον βοεβόδαν, τοὺς θαυμασίους καὶ περιωνύμους ἡγεμόνας Οὐγγροβλαχίας τε καὶ Μολδοβλαχίας, τοὺς κράτιστα καὶ φιλανθρωπότατα ἰθύναντας ἐκείνας, οὐκ εὐαρίθμοις ἔτεσιν εὐσεβείᾳ τε καὶ φρονήσει καὶ πολλοῖς ἄλλοις κατορθώμασι διαλάμψαντας, ἀφ' ὧν τὸ πατρῷον ἕλκει γένος ἡ αὐτοῦ ὑψηλότης; Τίνα δὲ λέληθεν ὁ ἐφ' ἡμῖν ἀκμάσας καὶ περιλάλητος εἰσέτι τοῖς ἁπάντων στόμασι ὤν, ἀπό τε τοῦ βίου, τῆς ἀξίας, καὶ τῶν σοφῶν ὧν ἡμῖν κατέλιπε συγγραμμάτων, ἀξιάγαστος Ἀλέξανδρος καὶ αὐθέντης ἐξ ἀπορρήτων, ὁ μοναδικὸς τοῦ καθ' ἡμᾶς γένους χρηματίσας φωστὴρ καὶ διαπρύσιος ἥρως, ἐξ οὗ τὸ μητρῷον ἀνίσχει γένος τῇ αὐτοῦ ὑψηλότητι; Κἂν ἡμεῖς τῶν τοιούτων μεγαλοφυῶν ἀνδρῶν τὰς ἀρετὰς βουλόμενοι ἐπαινέσαι, καὶ ἄκοντες παραιτούμεθα διὰ τὸ πλῆθος αὐτῶν καὶ τὸ μέγεθος, τῆς περὶ τὸ λέγειν ἡμῶν ἀσθενείας ἐπαισθανόμενος. Τί δ' ἄν τις φαίη καὶ περὶ αὐτῆς τῆς φυσάσης τὸν ἡγεμόνα ἐκλαμπροτάτης κυρίας κυρίας δόμνας Ῥωξάνδρας, τῆς ἐκμαγεῖον καὶ ἀρχέτυπον ἐν πάσῃ ἀρετῇ καὶ συνέσει καὶ φρονήσει γενομένης τοῦ φύσαντος, τῆς ἑνὶ λόγῳ τοῦτ' αὐτὸ ὑπαρξάσης ἐν γυναιξὶν ὅπερ ἐν ἀνδράσιν ἐκεῖνος, καὶ θρεψαμένης καὶ ἐκπαιδευσάσης κάλλιστα τὴν ἀρίστην καὶ ἐπαινετὴν καὶ τρισόλβιον, καὶ ἐμοὶ σεβασμίαν τῶν υἱέων δυάδα; ἀλλ' ὅτι καὶ πρὸς τοιούτους προγόνους τὴν χρυσῆν ἀνάπτων τοῦ γένους σειρὰν, καὶ ἀφ' ἑστίας τὸ τοῦ λόγου τῇ τῆς φύσεως εὐκληρίᾳ σεμνυνόμενος, οὐδ' οὕτω τῆς οἴκοθεν καὶ οἰκείας ἀρετῆς ἀμελῶς καὶ ὀλιγώρως ἔσχεν, οὐδ' ἀνομοίως τοῖς φυσὶν ἐπολιτεύσατο, ἀλλ' ὥσπερ κλάδος εὐγενὴς τὸ τῆς ἰδίας ῥίζης καὶ ἀρχῆς γενναῖον καὶ ἐκφυὲς διεσώσατο τῇ τῶν ἰδίων πλεονεκτημάτων λαμπρότητι.

Ἄττα, ὡς ἀριθμὸν νικῶντα καὶ λόγου τοῦ καθ' ἡμᾶς τὴν δύναμιν ὑπερβάλλοντα, καὶ ἄκοντες παρίημεν, ἄλλως τε καὶ πρὸς ἀκροατὰς εἰδότας μᾶλλον ἡμῶν τὰ πλεονεκτήματα τῆς αὐτοῦ ὑψηλότητος τὸν

λόγον ποιούμενοι. Οὐδὲ γὰρ λέληθέ τινα τῶν ἁπάντων ἡ ἐν τῷ τοῦ γενικοῦ ἑρμηνέως ἀξιώματι εὐδοκίμησις, καὶ ἡ μετὰ ταῦτα τῆς ἡγεμονίας ἀνάρρησις μεθ' ὅσης δόξης καὶ τιμῆς παρὰ τοῦ βασιλικοῦ κράτους αὐτῷ πεφιλοτίμηται. Ὅθεν τούτων ἑτέροις παραχωρήσαντες, τῶν μετὰ τὴν ἡγεμονίαν κἀκείνων βραχέως καὶ ἀκροθιγῶς ἁψώμεθα. Καὶ δῆτα ἐπανθεῖ τῇ θεοσεβεστάτῃ αὐτοῦ ψυχῇ προηγουμένως ἡ εὐσέβεια καὶ ὁ τοῦ θεοῦ φόβος, ὃν ἀρχὴν σοφίας Σολομὼν ὁρίζεται ὁ θαυμάσιος · παρομαρτεῖ δὲ τὸ συμπαθὲς καὶ φιλάνθρωπον καὶ τῷ ὄντι χριστομίμητον ἦθος · συγχορεύουσι δὲ καὶ πᾶς ὁ τῶν λοιπῶν ἐμφύτων τε καὶ ἐπικτήτων ἀρετῶν θίασος, ὡς ἐν λειμῶνι εὐανθεστάτῳ τε καὶ πολυανθεστάτῳ · τὸ περὶ τοὺς ὑπηκόους κηδεμονικὸν καὶ φιλάνθρωπον · τὸ περὶ τοὺς δεομένους εὐεργετικὸν καὶ φιλόπτωχον · καὶ ἁπλῶς τὸ πρὸς πάντας σπλαγχνικὸν καὶ μακρόθυμον · ἐφ' οἷς εἰκότως καὶ τὰ παρὰ τῆς τύχης τὸ θεῖον δικαίοις σταθμοῖς καὶ ζυγοῖς εὐμενέστατα ἐπιδεδώρηται · καὶ κοσμεῖται ἀρ' οὖν ἡ αὐτοῦ ὑψηλότης ἀξίᾳ καὶ τιμῇ γε τῇ ἀνωτάτῃ τοῦ ἡγεμονικοῦ κράτους, καὶ πᾶσιν ἀγαθοῖς ἀμφιλαφῶς περιρρεῖται, εὐτεκνίᾳ τε καὶ πολυτεκνίᾳ καὶ διαδοχῇ καταλλήλῳ · σεμνύνεται δὲ καὶ συγγενέσι καὶ φίλοις ἀξιοπρεπεστάτοις τε καὶ ἀξιολογωτάτοις, καὶ τὰ πρῶτα τῶν ἀξιωμάτων παρ' ἡμῖν ἔχουσι, καὶ ἐκλάμπει μὲν οὖν ἀριδήλως ἐν τῇ λαμπροτάτῃ συγγενείᾳ, μᾶλλον δ' εἰπεῖν συνεκλάμπει τῇ αὐτοῦ ὑψηλότητι, δίκην ἀνταυγαζόντων μεγαλοπρεπῶν φωστήρων, ὁ ἐκλαμπρότατος, ὑψηλότατος καὶ θεοσεβέστατος αὐθέντης καὶ ἡγεμὼν πάσης Μολδοβλαχίας κύριος κύριος Κωνσταντῖνος Νικολάου βοεβόδας, πρωτοεξάδελφος μὲν ἀξιέραστος τῆς αὐτοῦ ὑψηλότητος, υἱὸς δὲ καὶ διάδοχος τοῦ τρισολβίου ἐκείνου καὶ τρισμάκαρος ἐν ἡγεμόσιν ἥρως, τοῦ τὴν οἰκουμένην ἅπασαν διαδραμόντος τῷ τῆς σοφίας, καὶ μεγαλοφυΐας, καὶ φρονήσεως θαύματι, Νικολάου βοεβόδα, τοῦ μετὰ τὴν πρώτην ἀπαρχὴν τῆς τοῦ τεκόντος ἀρετῆς καὶ σοφίας ἀπαράμιλλον ἐν αὐτῇ ἐσχηκότος τὸ κράτος, καὶ τοῖς ἐπιγενομένοις ἅπασιν ἀνέφικτόν τε καὶ ἀνεγχείρητον. Τοιούτου ἄρ' ἐξέφυ πατρός τε καὶ ἡγεμόνος ὁ τέως νεύσει κρείττονι ἆθλον ἀρετῆς οἰκείας τε καὶ τῆς

τῶν προγόνων τὸ τῆς ἡγεμονίας κράτος περιζωσάμενος, καὶ διέπων ἄριστα τὴν θεόθεν ἐπιδοθεῖσαν ἀρχὴν, ὁ τῆς πατρώας ἀρετῆς, εὐσεβείας τε καὶ συνέσεως, ἐκ τῶν ἐνόντων κάλλιστα προφαίνων τὰ σημεῖα καὶ δείγματα, καὶ πρὸς τὴν ἀρχὴν τοῦ γένους ὡς πτόρθος εὐγενὴς ἀνατρέχων, καὶ ἁπαλῇ τῇ ἡλικίᾳ τοὺς χαρακτῆρας τῆς ψυχῆς εὐφυῶς ἐπιδεικνύμενος, εἰ καὶ τὰ πλείω τῶν προτερημάτων τῆς αὐτοῦ ὑψηλότητος ὁ λόγος παρέδραμε τῷ καιρῷ τέως κατεπείγοντι χρώμενος, καὶ ἐν ἄλλοις ἴσως ταῦτα ταμιευόμενος, ἐπειδὰν θεὸς ἐπινεύσῃ. Τί δὲ ὁ συμφυὴς βλαστὸς καὶ ὁμαίμων προσφιλέστατος τῆς αὐτοῦ ὑψηλότητος, ὁ ἐνδοξότατός φημι καὶ πανευγενέστατος ἄρχων μέγας λογοθέτης, καὶ γενικὸς ἑρμηνεὺς κύριος Ἀλέξανδρος μῶν τῆς τῶν προγόνων ἀρετῆς ὑπελείφθη, ὅση περὶ τὴν παιδείαν, καὶ τὰ ἤθη, καὶ τὴν ἄλλην ἀγωγὴν ἔχει; ἢ ἐν ἀξιώμασι καὶ τιμαῖς ἔσχε τὸ ἔλαττον; Οὔμενουν, μᾶλλον δ' ὅσα γ' ἐμὲ εἰδέναι, εἴπερ τι κἀγὼ συνεισήνεγκα τῇ αὐτοῦ ἐνδοξότητι, ἐν τοῖς κατὰ τὴν ἑλλάδα φωνὴν μαθήμασιν, ἐκ παιδὸς λόγων καὶ μαθημάτων ἁλοὺς τῷ ἔρωτι, εὐφυΐᾳ τε καὶ φιλοπονίᾳ κοσμούμενος, ἐν βραχεῖ πολλῶν καὶ καλῶν μαθημάτων ἐν μετουσίᾳ ἐγένετο, καὶ τοῖς ἴχνεσι τῶν προγόνων ἀκολουθῶν οὐ διέλιπε, καὶ πρὸς ἐκείνους διαμιλλώμενος, καὶ δῆτα καὶ διαλέκτων πολλῶν ἐγκρατὴς γενόμενος, τὸν πρεσβύτερον ἀδελφὸν ἐπαξίως εἰς ἡγεμονίαν ἀναχθέντα ἀναδέχεται ἐν τῷ τοῦ γενικοῦ παρὰ τῷ βασιλικῷ κράτει ἀξιώματι, εἶτα καὶ παρὰ τῆς ἐκκλησίας τῇ τοῦ μεγάλου λογοθέτου τιμῇ καὶ ἀξίᾳ ἐπικοσμεῖται. Καὶ εὐδοκιμεῖ ἄρα τέως ἡ αὐτοῦ ἐνδοξότης παρά τε τοῖς προὔχουσι τοῦ βασιλικοῦ κράτους αὐθέναις ἡμῶν, ναὶ μὴν καὶ αὐτῷ τῷ πολυχρονίῳ καὶ κραταιῷ ἄνακτι, εὐφυῶς καὶ ἐντέχνως ἐκπληροῦσα τὸ ἔργον τοῦ γενικοῦ ἑρμηνέως, καὶ ἀκριβῶς ἀπαγγέλλουσα κἀν τῇ βασιλικῇ στοᾷ μεθ' ὅσης εὐφραδείας καὶ συνέσεως χρηματίζουσα, καὶ πάσης εὐμενείας καὶ δεξιώσεως ἐπὶ τούτοις ἀξιουμένη · ὑπερίδρυται δὲ καὶ προλάμπει κἀν τῷ ἐκκλησιαστικῷ καταλόγῳ, καὶ παντὶ τῷ χριστωνύμῳ πληρώματι, μήτοι γε τῇ τάξει μόνῃ, καὶ τῷ βαθμῷ, ἀλλὰ καὶ τῷ εὖ ποιεῖν, καὶ εὐεργετεῖν, καὶ

προίστασθαι· τῇ μὲν γὰρ κοινῇ μητρὶ καὶ πρωτίστῃ πασῶν τῶν ἐκλησιῶν, καὶ τοῖς ἐν αὐτῇ προϊσταμένοις οὐ τὸ τυχὸν ἐνδείκνυται σέβας, καὶ αἰδῶ, καὶ εὐλάβειαν, συντρέχων καὶ συνηγορῶν, καὶ τὴν ἐνοῦσαν εἰσφέρων βοήθειαν, ἰδίως δὲ ἑνὶ ἑκάστῳ τὴν ἐκ τοῦ λοιποῦ τῆς πολιτείας συστήματος πρὸς τὰς χρείας καὶ τὰς αἰτήσεις μεταδίδωσι συμπαθῶς τὴν δυνατὴν ἐπικουρίαν τε καὶ ὠφέλειαν, οἷά τις κοινὸς λιμὴν προκείμενος τοῖς οἱαδήτινι περιστάσει συνεχομένοις· πρὸ δὲ πάντων μέγα τε κλέος καὶ καύχημα, καὶ ἥδιστον σεμνολόγημα τῷ ὑψηλοτάτῳ αὐταδέλφῳ καὶ θεοσεβεστάτῳ ἡγεμόνι, διατελεῖ τὰ μέγιστα συντελῶν ταῖς τῆς ἡγεμονίας αὐτοῦ ὑποθέσεσι, καὶ οἷά τι προπύργιον ἐρυμνὸν, καὶ γενναῖος πρόβολος ὑπὲρ ἐκείνου προβεβλημένος, ὡς μηδὲν εἶναι Μολιονίδας, Πυλάδας τε καὶ Ὀρέστας, τῆς ὁμηρικῆς ποιήσεως τὰ θρυλλούμενα, πρὸς τὴν συμφυΐαν, εἴτουν ὁμοψυχίαν, καὶ ἐξ εἰλικρινοῦς διαθέσεως ἀπηκριβωμένον ἀγάπην τῆς αὐτοῦ ἐνδοξότητος πρὸς τὴν αὐτοῦ ὑψηλότητα· διὸ καὶ τὴν γαμήλιον παστάδα διαφερόντως τιμῆς τῆς ἐκλαμπροτάτης ἀδελφόπαιδος, καὶ τὴν τοῦ γάμου χαρὰν μεριζόμενος, ἑστιάτωρ λαμπρότατος τοῦ πολυτελεστάτου τούτου δείπνου κατέστη, τοσούτους τε καὶ τηλικούτους συνδαιτυμόνας ἀσμένως προσεκαλέσατο κοινωνοὺς γενέσθαι τῆς εὐφροσύνης καὶ τέρψεως, καὶ τοῖς νεονύμφοις τὰ εἰκότα ἐπεύξασθαι.

Εἰ δὲ βραχέα καὶ ἄκομψα, καὶ πολλῷ τῆς ἀξίας λειπόμενα, τὰ ἐν εἴδει ἐπεισοδίου εἰρημένα περὶ τῆς αὐτοῦ ἐνδοξότητος, καὶ ὡς ἐξ ὄνυχος ὑποδεικνῦντα τὸν λέοντα, θαυμαστὸν οὐδέν· μετριοφρονεῖν γὰρ ἐν πᾶσιν εἰδὼς, ὥς γ' ἐμαυτὸν πείθω, συγγνώμων ἔσται τέως τοῖς ἡμετέροις ἐλλείμμασιν. Οὐδὲ γὰρ καθ' αὐτὸ ἐνεστησάμεθα τὴν τῶν ἐγκωμίων τῶν εὐφημουμένων ὑπόθεσιν, ἀλλ' ἐν παρεκβάσει, καὶ ὥστε μὴ ἀβρόχοις παντάπασι διαπερᾶσαι ποσὶ τὰ τοιαῦτα καὶ τηλικαῦτα κλέη τῶν μνημονευθέντων ἀξιολογωτάτων ἀνδρῶν, καὶ τῇ λαμπρᾷ ταύτῃ καὶ περιδόξῳ συνελεύσει, ναὶ μὴν καὶ τοῖς συγγενέσι τὸ χρέος ἀφοσιώσασθαι· καιρὸς δὲ ἤδη τὰ ἱστία τοῦ λόγου χαλάσασιν εἰς τὸν εὔδιον λιμένα τῶν εὐχῶν ἀσφαλῶς ἐλλιμενισθῆναι.

Τοιγαροῦν, παναγιώτατε καὶ μακαριώτατε δέσποτα, εὐχαῖς καὶ ἐντεύξεσιν ὑμετέραις καὶ τῶν συμπαρόντων συνεδριαζόντων θεοπροβλήτων ἀρχιερέων, χεῖρας ἱκέτιδας ἄραντες, ὁμοθυμαδὸν ἅπαντες κοινὴν προσενέγκωμεν τὴν ἱκέσιον δέησιν τῷ τῶν ἀγαθῶν δοτῆρι θεῷ, ὅπως τοῖς μὲν νεονύμφοις ἐπιβραβεύσῃ ὑγίειαν καὶ ζωὴν πολυχρόνιον, ἕνωσιν βίου εἰρηνικὴν καὶ ἀτάραχον, ἀγάπην ἐν ὁμονοίᾳ καὶ κοινωνίᾳ ψυχῆς τε καὶ σώματος, συνέχῃ τε καὶ συμφυλάσσῃ αὐτοὺς, εὐτυχίᾳ συζῶντας, καὶ πᾶσιν ἀγαθοῖς ἀπό τε ψυχῆς, ἀπό τε σώματος περιρρεομένους, δῴη αὐτοῖς καρπὸν κοιλίας γόνιμον, πολύπαιδας καὶ καλλίπαιδας ἀναδείξας, καὶ διαδοχῇ γένους σεμνυνομένους, καὶ ἐπὶ πᾶσι γῆρας λιπαρὸν καὶ βαθύτατον. Τῷ δὲ ὑψηλοτάτῳ καὶ θεοσεβεστάτῳ αὐθέντῃ καὶ ἡγεμόνι, τῷ καὶ φιλοστοργοτάτῳ πατρὶ, καὶ τῇ ἐκλαμπροτάτῃ καὶ ὑψηλοτάτῃ κυρίᾳ κυρίᾳ Ζωῇ, τῇ καὶ φιλοστοργοτάτῃ μητρὶ ἐπιβραβεύοι ἡ ἐξ ὕψους χάρις ἀμφιλαφῶς τε καὶ διηνεκῶς χαίρειν, ἐπὶ τῇ ὑγείᾳ καὶ διαδοχῇ τῶν φιλτάτων νεονύμφων, καὶ εὐφραίνεσθαι προφητικῶς, καθορῶσιν ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς αὐθεντικῆς αὐτῶν τραπέζης, τὰ ἐκλαμπρότατα φίλτατα, καὶ υἱοὺς τῶν υἱῶν ἐν ἀδιακόπῳ εὐημερίᾳ ἐπὶ τῆς ἡγεμονικῆς αὐτῶν καθέδρας · καταξιώοι δὲ ἐκτελέσαι καὶ τῶν λοιπῶν φιλτάτων γαμηλίους τελετάς τε καὶ ὑμεναίους φαιδρῶς τε καὶ περιδόξως, καὶ σὺν τῷ κράτει τῆς ἡγεμονίας ἀδιαδόχως συντηρουμένης εἴς τ' ἐπιβαθὺ καὶ λιπαρὸν γῆρας · συνδιαφυλάττοι δὲ τὴν αὐτοῦ ὑψηλότητα, καὶ τὴν ἐκλαμπροτάτην κυρίαν κυρίαν δόμναν Ῥωξάνδραν, τὴν φιλοστοργοτάτην αὐτοῦ μητέρα, ἐν ἄκρᾳ ὑγείᾳ καὶ διηνεκεῖ θυμηδείᾳ, εὐφραινομένην ἐπὶ τῇ τῶν φιλτάτων καὶ ἐγγόνων διαδοχῇ · συνάμα δὲ διατηροίη καὶ συμπεριφρουροίη κύριος ὁ θεὸς τὸν ὑψηλότατον καὶ εὐσεβέστατον αὐθέντην καὶ ἡγεμόνα πάσης Μολδοβλαχίας κύριον κύριον Κωνσταντῖνον Νικολάου βοεβόδαν ἀσινῆ, καὶ παναίσιον, καὶ ὑγιείας ἄκρας ἐπειλημμένον, εὐτυχίᾳ περιρρεόμενον, μακροβιότητι θάλλοντα, ἀστεμφῶς κατεστηριγμένον ἐπὶ τῆς ἡγεμονίας, καὶ ἡστινοσοῦν ἀντικειμένης προσβολῆς καὶ λυπηρᾶς περιστάσεως ἄγευστον, καὶ συνελόντι ἀμφοτέρους τοὺς θεοσεβεστάτους

αὐθέντας, ὡς καὶ τῷ γένει, καὶ τῇ εὐσεβείᾳ, καὶ τοῖς ἤθεσιν ἐπιφανεστάτους καὶ διαπρεπεστάτους, καὶ συγγενείᾳ λαμπροτάτῃ ὠκειωμένους, καὶ χριστομιμήτως διέποντας τὰς ἐμπιστευθείσας ἡγεμονίας περισκέποι ἡ κραταιὰ δεξιὰ τοῦ ὑψίστου ὡς κόρην ὀφθαλμῶν, ἀνεπάφους ἀπὸ πάσης ἐπιβούλου χειρὸς, καὶ κατευμεγεθοῦντας πάντων τῶν ἀντερεῖν καὶ ἀντιτάσσεσθαι τολμῶντας αὐτοῖς ἐν ἄκρᾳ ὑγείᾳ καὶ ἀγάπῃ, καὶ ὁμονοίᾳ διαβιοῦντας, βαθείας τε καὶ ἡδίστης γαλήνης ἐπαπολαύοντας, ἀλλήλους συνέχοντας, ἐπιστηρίζοντας, ὑπ' ἀλλήλων βοηθουμένους καὶ καταρτιζομένους ἐν πνεύματι χρηστότητος, καὶ τὰ φίλια ἀλλήλοις φρονοῦντας, καὶ ἐν οὐδενὶ οὐδέποτε διχονοοῦντας, ἵνα, κατὰ τὸ εἰρημένον, ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὥσιν ὀχυρὰ, καὶ ὡς μεμοχλευμένη βασιλεία, καὶ παρατείνωσι τὰς ἡγεμονίας ἀδιασείστως καὶ ἀνενοχλήτως εἰς παμπόλλων ἡλίων κυκλοφορίας, μεθ' ὧν συνδιατηροίη ὑγιαίνοντα, εὐτυχοῦντα, καὶ μακροημερεύοντα, καὶ ἐπιδιδόντα ἐν πᾶσιν ἀγαθοῖς ψυχῆς τε καὶ σώματος, καὶ τὸν ἐκλαμπρότατον πεῖζαδὲν τοῦ ἀειμνήστου αὐθέντου Ἰωάννου βοεβόδα, καὶ συνεξάδελφον φίλτατον τῆς αὐτοῦ ὑψηλότητος κύριον Ἀλέξανδρον. Ἀλλὰ καὶ τὸν ἐνδοξότατον καὶ πανευγενέστατον ἄρχοντα μέγαν λογοθέτην, διαφυλάττοι ὁ τῶν ὅλων θεὸς ἐν ἄκρᾳ ὑγείᾳ καὶ διηνεκεῖ εὐημερίᾳ μετὰ μακροβιότητος, καὶ χαρίζοιτο τῇ αὐτοῦ ἐνδοξότητι τὴν τῶν ἐφετῶν καὶ καταθυμίων ἐπίτευξιν, συνδιαφυλάττων αὐτῷ τήν τε ἐνδοξοτάτην καὶ εὐγενεστάτην ἀρχόντισσαν σύζυγον αὐτοῦ, καὶ τὰ φίλτατα καὶ εὐγενέστατα αὐτοῦ τέκνα, καὶ γένοιτο ἐν θεῷ συλλήπτορι κοινῇ τε καὶ ἰδίᾳ συνευφραίνεσθαι ἐν τοῖς τῶν συγγενῶν γάμοις τὴν αὐτοῦ ἐνδοξότητα, καὶ τῶν ἰδίων τέκνων τε καὶ φιλτάτων ἐν καιροῖς τοῖς προσήκουσιν ἐκτελέσαι φαιδρῶς καὶ περιδόξως τὰς νυμφικὰς γαμηλίους παστάδας.

Ἐπὶ δὲ τούτοις πᾶσι, διαφυλάττοι κύριος ὁ θεὸς καὶ τοὺς γεννήτορας τοῦ εὐγενεστάτου νυμφίου, τὸν τιμιώτατον καὶ εὐγενέστατον ἐν ἄρχουσι καπικεχαγιᾶν τῆς ὑψηλοτάτης αὐθεντίας Οὐγγροβλαχίας κυρίτζη Δημητράσκον Βλαστὸν, μετὰ τῆς εὐγενεστάτης ἀρχοντίσσης

αὐτοῦ, ἐν ὑγείᾳ διηνεκεῖ καὶ ἀδιαλείπτῳ εὐημερίᾳ καὶ μακροβιότητι συνηδομένους καὶ ἐγκαλλωπιζομένους διηνεκῶς ἐπὶ τῇ εὐκλεεστάτῃ τῶν νεονύμφων συζυγίᾳ καὶ πανευδαίμονι ὑγείᾳ. Ἀλλὰ, παναγιώτατε καὶ μακαριώτατε δέσποτα, ἥ τε αὐτοῦ ἐνδοξότης, ὁ λαμπρὸς ἡμῶν ἑστιάτωρ, καὶ ἡμεῖς πάντες ὁμολογοῦντες τὰς καθηκούσας χάριτας τῇ ὑμῶν παναγιότητι καὶ μακαριότητι, ὅτι τῇ ὑμετέρᾳ παρουσίᾳ τὸν λαμπρὸν τοῦτον δεῖπνον πατριαρχικῶς καὶ θείως κατεκοσμήσατε, καὶ τῶν ἁγίων καὶ θεοπειθῶν ὑμῶν εὐχῶν καὶ ἀφθόνων εὐλογιῶν, τοῖς τε νεονύμφοις καὶ τοῖς συγκροτοῦσι τὸν γάμον, καὶ ἡμῖν τοῖς συνελθοῦσι πατρικῶς καὶ πνευματικῶς μετεδώκατε, κοινῇ προθυμίᾳ καὶ υἱϊκῇ ἀγάπῃ ἅπαντες ἐξαιτούμεθα τὴν τοῦ θεοῦ ἀγαθότητα, ὅπως διαφυλάξῃ τὴν ὑμετέραν παναγιότητα καὶ μακαριότητα, ἐπὶ τῶν πατριαρχικῶν ἀποστολικῶν ὑμῶν θρόνων, ὑγιαινούσας καὶ εὐδαιμονούσας ἐν εἰρηνικῇ καταστάσει καὶ μακροβιότητι, ἀδιασείστους, ἀταράχους, καὶ παντὸς λυπηροῦ καὶ ἀντικειμένου συμπτώματος ἀγεύστους, ποιμαινούσας εὐαγγελικῶς τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, καὶ διεξαγούσας εἰς νομὰς σωτηρίους τὰ ἅπερ ἐνεπιστεύθητε τῶν ὀρθοδόξων συστήματα, μέχρι γήρως λιπαροῦ καὶ πρεσβείου · διὰ δὲ τῶν παναγίων καὶ θεοπειθῶν ὑμῶν εὐχῶν διαφυλάττοι τοὺς πανιερωτάτους καὶ θεοπροβλήτους ἀρχιερεῖς ἐν ὑγείᾳ διηνεκεῖ καὶ εὐημερίᾳ, ὁμονοίᾳ τε καὶ ὁμοφροσύνῃ, συνηνωμένους τῷ συνδέσμῳ τῆς ἀγάπης · περιφρουροίη καὶ πάντας τοὺς συνελθόντας ἐν τῇ λαμπρᾷ ταύτῃ καὶ περιφανεῖ πανδαισίᾳ, τιμιωτάτους καὶ εὐγενεστάτους ἄρχοντας, τούς τε καπικεχαγιᾶδες τῶν ὑψηλοτάτων αὐθεντιῶν Οὐγγροβλαχίας τε καὶ Μολδοβλαχίας, καὶ τοὺς λοιποὺς ἄρχοντας τῆς περιφανοῦς ταύτης πολιτείας, ἐν ὑγείᾳ, εὐτυχίᾳ, εὐημερίᾳ καὶ μακροβιότητι, καταξιῶν ἅπαντας τῆς ὁμονοίας ἀπολαύειν τὸν γάμον ἐν τοῖς φιλτάτοις καὶ τέκνοις εὐφροσύνης καὶ τέρψεως, καὶ χαριζόμενος πᾶσι τὰ ἐφετὰ καὶ καταθύμια.

(Κώδηξ πρῶτος Κριτίου, σελ. 535-540.)

10

Ἐγκώμιον γεγονὸς εἰς τὴν νέαν αὐθεντίαν τοῦ αὐθεντὸς τοῦ Ἰωνβοδα, ὅταν ἔκαμε τοὺς ἀρραβῶνας τῆς δομνίτζης του μετὰ τοῦ υἱοῦ τοῦ Καρατζᾶ, περιέχον ἐπαίνους οὐ μόνον τῆς αὐτοῦ ὑψηλότητος εἰς τὰ δσα ἔπαθε, ἀλλὰ καὶ τοῦ αὐταδέλφου του Κωνσταντίνβοδα καὶ τῶν προγόνων τους.

Χρέος ἀπαραίτητον ἔχουσιν οἱ εὐσεβεῖς καὶ ὀρθόδοξοι νὰ ἀποδίδωσιν εἰς κάθε καιρὸν τὰς καθηκούσας εὐχαρίστους δοξολογίας τῷ ποιητῇ καὶ δημιουργῷ τῶν ἁπάντων θεῷ, καὶ κηδεμόνι καὶ φροντιστῇ τῆς σωτηρίας τοῦ ἀνθρωπίνου πλάσματος, καὶ νὰ κηρύττουσι καὶ νὰ ὑμνοῦσι μεγαλοφώνως τὴν ἄπειρον αὐτοῦ ἀγαθότητα, διὰ τὴν ὁποίαν ὄχι μόνον ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος εἰς τὸ εἶναι παρήγαγε τὴν κτίσιν ἅπασαν, διὰ νὰ τὴν κάμῃ μέτοχον ἀπὸ τὸν πλοῦτον τῆς ἐδικῆς του ἀγαθότητος, κατὰ τὸν θεολόγον Γρηγόριον, ἀλλὰ καὶ τὸ τιμιώτατον τῶν δημιουργημάτων του, τὸν ἄνθρωπον, ἀφ' οὗ τὸν ἐκόσμησε μὲ τὴν ἰδίαν του εἰκόνα καὶ ὁμοίωσιν, καὶ τὸν ἐτίμησε μὲ τὴν ἐν παραδείσῳ κατοίκησιν, βλέπωντάς τον νὰ ἐξαπατηθῇ ἀθλίως ἀπὸ τὴν πονηρὰν συμβουλὴν τοῦ διαβόλου, καὶ νὰ χάσῃ τὴν πρώτην εἰκόνα τε καὶ στολήν· πάλιν κινούμενος ἀπὸ τὸ πέλαγος τῆς ἀγαθότητός του, τὸν ἀνεκάλεσε φιλανθρώπως ἀπὸ τὴν πτῶσιν καὶ φθορὰν μὲ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ, καὶ τὸν ἀνεβίβασεν εἰς τὴν πρώτην τάξιν τε καὶ κατάστασιν. Μ' ὅλον τοῦτο ἡ ἀνθρωπίνη φύσις διὰ τὸ εὐόλισθον καὶ ἀσθενὲς, καὶ μετὰ τὴν δευτέραν ἀνάπλασιν ὤντας ὑποκειμένη εἰς τὰ πάθη καὶ τὰς προσβολὰς τῆς σαρκὸς καὶ τοῦ διαβόλου, εὑρίσκεται πάντοτε μεταξὺ τῶν ἀγώνων· καὶ διὰ τοῦτο ὁ ἀπόστολος Παῦλος βοᾷ: ἡμῖν δὲ ἡ πάλη οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις· καὶ ἐκ τῶν ἀγώνων ἀκολουθοῦσι τὰ ἆθλα καὶ τὰ στέφανα, ὅταν γίνωνται κατὰ τὸν προσήκοντα λόγον.

Κατὰ τὸν αὐτὸν Παῦλον, εἷς ἀθλητὴς οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Ἀγώνων λοιπὸν εἶναι ὁ παρὼν καιρὸς καὶ θλίψεων, μὲ τοὺς ὁποίους δοκιμάζεται ἡ γενναία ὑπομονὴ τῶν πιστῶν, καὶ ἀπὸ τὴν ὑπομονὴν πορίζεται ἡ ἀκαταίσχυντος ἐλπίς, τὴν ὁποίαν βεβαιοῖ αὐτὸ τὸ τῆς ἐκλογῆς σκεῦος, ἐκεῖ ὁποῦ λέγει, εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει · καὶ ὁ προφητάναξ Δαβὶδ ἐπισφραγίζων τὸν λόγον : ὁ ὑπομείνας, λέγει, εἰς τέλος, οὗτος σωθήσεται.

Εἰς τούτους τοὺς γενναίους ἀγῶνας εὑρισκόμενος καὶ ὁ ἐκλαμπρότατος, ὑψηλότατος καὶ θεοσεβέστατος ἡμῶν αὐθέντης καὶ ἡγεμὼν πάσης Μολδοβλαχίας, κύριος κύριος Ἰωάννης Νικολάου βοεβόδας, ἔδειξε θαυμασίαν καὶ ἐξαίσιον ὑπομονὴν, καὶ ὡς χρυσὸς ἐν χωνευτηρίῳ ἐδοκιμάζετο ἀπὸ τὰς ἐναντίας τῆς ἀστάτου τύχης φορὰς, ἡ ὁποία πολλάκις παρ' ἐλπίδα καὶ ἔξω τοῦ εἰκότος καὶ πρέποντος ἀνάγει καὶ κατάγει, σμικρύνει καὶ αὐξάνει, καὶ ἐπιφέρει πολλὰς ἀλλοιώσεις καὶ μεταβολὰς εἰς τὰ ἀνθρώπινα πράγματα, κατὰ τοὺς ἀποκρύφους λόγους τῶν θείων κριμάτων, μὲ τοὺς ὁποίους ἡ πάνσοφος καὶ εὐμήχανος πρόνοια καὶ κηδεμονία τοῦ ἁγίου θεοῦ, ὁποῦ οἰκονομεῖ πάντα πρὸς τὸ συμφέρον, διὰ νὰ δοκιμάσῃ τῶν πιστῶν καὶ ἐναρέτων ἀνδρῶν τὴν θαυμασίαν καὶ ἐξαίσιον ὑπομονὴν, συγχωρεῖ καὶ ἀφίησι νὰ πάσχωσι καὶ νὰ ταλαιπωροῦνται εἰς τὴν κάμινον τῶν διαφόρων θλίψεων ἐκεῖνοι ὁποῦ διὰ πίστεως καὶ εὐσεβείας εὐηρέστησαν τῷ θεῷ, καὶ νὰ ὑποφέρωσι διάφορα εἴδη ἀτιμίας καὶ ἀδοξίας ἐκεῖνοι ὁποῦ ἦσαν τῆς ἀνωτάτης τιμῆς καὶ δόξης ἄξιοι. Καθὼς ἐσυνέβη εἰς τὸν δίκαιον ἐκεῖνον καὶ πολύαθλον Ἰὼβ, ὁ ὁποῖος, ἀφ' οὗ ἐμαρτυρήθη ἀπὸ αὐτὸν τὸν θεὸν ἄμεμπτος, δίκαιος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ, κατὰ θείαν συγχώρησιν περιπίπτει εἰς τὰς διαφόρους προσβολὰς καὶ ἐπηρείας τοῦ διαβόλου, καὶ ὄχι μόνον ὑστερήθη τὴν ὅσην εἶχεν εὐτυχίαν καὶ δόξαν, ἀλλὰ καὶ εἰς ἐσχάτην δυστυχίαν, καὶ ἀτιμίαν, καὶ θλῖψιν κατήντησε, διὰ νὰ δοκιμασθῇ καὶ νὰ φανερωθῇ εἰς ὅλον τὸν κόσμον ἡ γενναία καὶ ὑπὲρ ἄνθρωπον ὑπο-

μονή του · διὰ τοῦτο ἐπιφέρει ἡ ἁγία Γραφή : ἐν πᾶσι τούτοις οὐχ ἥμαρτεν ὁ Ἰώβ · τουτέστιν εἰς ὅλας αὐτὰς τὰς θλίψεις ὁποῦ πειράζων ὁ διάβολος τοῦ ἔδωκε, δὲν ἔσφαλεν ὁ Ἰώβ, οὐδὲ κἀνένα βλάσφημον λόγον ἐξεφώνησεν, ἀλλ' ἔμεινεν εὐχαριστῶν καὶ διδοὺς δόξαν τῷ θεῷ, μὲ ἐκεῖνα τὰ θαυμαστὰ καὶ ἀξιομνημόνευτα λόγια : ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο, ὡς τῷ κυρίῳ ἔδοξεν οὕτω καὶ ἐγένετο · εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Διὰ τὴν ὁποίαν εὐγνωμοσύνην ἠξιώθη μετὰ ταῦτα παρὰ θεοῦ περισσοτέραν εὐτυχίαν καὶ λαμπρότητα παρὰ τὸ πρῶτον, ὅθεν καὶ ἐπιφέρει ἡ Γραφή : καὶ εὐλόγησεν ὁ θεὸς τὰ ἔσχατα τοῦ Ἰώβ μᾶλλον ἢ τὰ πρῶτα. Ἔπασχε λοιπὸν καὶ ἡ θεοφρούρητος αὐτῆς ὑψηλότης, καὶ ἐδοκιμάζετο ὑπὸ τῆς ἄνωθεν προνοίας μέσα εἰς τοὺς ἀγῶνας τῶν θλίψεων, καὶ ἀπ' ἐκεῖ ὁποῦ ἔπρεπε κατὰ πάντα λόγον δικαίου νὰ ἔχῃ καὶ νὰ ἀπολαμβάνῃ τὰς πρώτας τιμὰς καὶ εὐτυχίας, ἀναμεταξὺ εἰς τὴν ἀρχοντικὴν καὶ ὑπερέχουσαν ὁμήγυριν τοῦ ἡμετέρου γένους τῶν ὀρθοδόξων, καὶ ὡς πεϊζαδὲς ἐκλαμπρότατος, καὶ τοιούτου ἀοιδίμου καὶ τρισμακαρίου αὐθέντου τε καὶ πατρὸς υἱὸς, καὶ τοιούτου ὑψηλοτάτου καὶ εὐσεβεστάτου αὐθέντου αὐτάδελφος γνήσιος, καὶ μεγαλυνόμενος πανταχόθεν ἀπὸ τὰ λαμπρότατα αὐχήματα καὶ προτερήματα, καὶ τοῦ πανεκλάμπρου γένους καὶ τῆς οἴκοθεν εὐκληρίας τῆς φύσεως, διὰ τὰς ἐπικοσμούσας τὴν αὐτοῦ ὑψηλότητα ἐμφύτους τε καὶ ἐπικτήτους ἀρετὰς, ἐσυνέβαινεν ὅλον τὸ ἐναντίον, καὶ ἐδιώκετο καὶ ἐπολεμεῖτο ἡ αὐτοῦ ὑψηλότης ἀπὸ τὴν βάσκανον καὶ φθονερὰν τύχην, καὶ ἀπὸ τὸν κοινὸν τοῦ ἀνθρωπίνου γένους ἐχθρὸν καὶ πολέμιον, μὲ διάφορα θλίψεων εἴδη, ἀπερριμμένος πανταχόθεν καὶ ἐγκαταλελειμμένος, καὶ σχεδὸν εἰς ἕνα βάθος ἀπογνώσεως καὶ ἀπελπισίας ἀπὸ πᾶσαν ἀνθρωπίνην βοήθειαν κλυδωνιζόμενος, ἀλλ' ἐπειδὴ καὶ νὰ ἐθεμελίωνεν ἐπάνω εἰς τὴν ἀσάλευτον πέτραν τῆς εἰς θεὸν πίστεως, καὶ νὰ ἐπεκαλεῖτο ὁλοψύχως εἰς ὅλους τούτους τοὺς πειρασμοὺς τὴν θείαν ἐξ ὕψους βοήθειαν καὶ ἀντίληψιν μὲ γενναίαν ὑπομονὴν, μὲ εὐχαριστηρίους ἱκεσίας καὶ δεήσεις εἰς τὸν σπλαγχνικώτατον καὶ συμπαθέστατον θεὸν καὶ πατέρα, τὸν

πατάσσοντα καὶ πάλιν ἰώμενον, εἰσηκούσθη τελευταῖον ἡ ἀπὸ κατανενυγμένης ψυχῆς καὶ συντετριμμένης καρδίας εἰς θεὸν δέησις· ἔτι γὰρ λαλοῦντός σου, λέγει ἡ Γραφή, ἐρεῖ ἰδοὺ πάρειμι· καὶ ὁ μὲν δίκαιος μισθαποδότης καὶ χορηγὸς τῶν ἀγαθῶν θεὸς, ἀποδεχόμενος τὴν εὐγνώμονα προαίρεσιν καὶ εὐχάριστον ὑπόκλισιν εἰς τὰ κρίματα τοῦ κυρίου τῆς αὐτοῦ ὑψηλότητος εἰς ἆθλον καὶ ἀμοιβὴν τῶν τοσούτων του ἀγώνων καὶ τῆς γενναίας ὑπομονῆς, στέφει οὐρανόθεν τὴν θεοτίμητον αὐτοῦ κεφαλὴν μὲ τὸ διάδημα τῆς ἀρχῆς καὶ ἐξουσίας, καὶ νεύει εἰς τὰς καρδίας τοῦ κραταιοτάτου ἄνακτος καὶ τῶν πολυχρονίων ἡμῶν αὐθεντῶν νὰ τιμήσωσι τὴν αὐτοῦ ὑψηλότητα μὲ τὴν ἡγεμονίαν τῆς αὐθεντίας Μολδοβλαχίας καὶ ὡς γέρας ἐπάξιον τῶν ἰδίων προτερημάτων του, καὶ ὡς δίκαιον ὀφειλόμενον ἀπὸ τῆς προγόνων ἀρετῆς καὶ δόξης καὶ τελειότητος, τῶν ἀειμνήστων δηλαδὴ καὶ τρισμακαρίστων αὐθεντῶν τοῦ τε πάππου Ἀλεξάνδρου καὶ τοῦ πατρὸς Νικολάου, ναὶ μὲν καὶ τῆς τοῦ ὑψηλοτάτου καὶ εὐσεβεστάτου αὐθέντου καὶ αὐταδέλφου Κωνσταντίνου βοεβόδα, ζώσης εἰκόνος καὶ ἐμψύχου ἰδέας καὶ λαμπροτάτου ἀγάλματος ἐν τῇ τελειότητι τῆς ἡγεμονικῆς ἀξίας. Ἡ δὲ θεοτίμητος αὐτοῦ ὑψηλότης, ὑποκλίνασα εὐγνωμόνως τὴν πάντιμον κεφαλὴν εἰς τὴν θείαν ταύτην ψῆφόν τε καὶ βουλὴν ὁποῦ ἔγινε διὰ νεύσεως εἰς τὸν κραταιότατον ἄνακτα, καὶ ἀποδεξαμένη εὐχαρίστως τὸ θεόσδοτον τοῦτο ἀξίωμα, ὄχι μόνον ἀπέδωκε τὰς καθηκούσας εὐχαριστίας ἔργῳ καὶ λόγῳ εἰς τὸν ἐλεήσαντα καὶ οὕτως εὐδοκήσαντα θεὸν, ἀλλὰ καὶ χριστιανικῷ ζήλῳ κεκινημένη ἐφρόντισεν εὐσεβῶς καὶ θεαρέστως, εὐθὺς ὁποῦ ἀνεζώσθη τὸ τῆς ἡγεμονίας ἀξίωμα, καὶ διὰ τὰ καθήκοντα τῆς συγγενείας δίκαια. Ὅθεν καὶ διὰ πολλῆς σπουδῆς καὶ συντόνου ἐπιμελείας συνετέλεσε τὴν μετὰ τοῦ ὑψηλοτάτου καὶ εὐσεβεστάτου αὐθέντου, καὶ προσφιλεστάτου αὐταδέλφου αὐτῆς θεοφιλῆ καὶ τιμαλφεστάτην εἰρήνην, καὶ ὁμόνοιαν, καὶ ἀγάπην τῷ ὄντι ἀδελφικὴν, καὶ ἕνωσιν ὁμόψυχον καὶ ἀδιάσπαστον, ἡ ὁποία ὅσον εἶναι θεάρεστος καὶ ἐπαινετὴ καὶ μυρίων ἐγκωμίων ἀξία κοντὰ εἰς τοὺς σοφοὺς καὶ πεπαιδευμένους καὶ φιλαρέτους ἄνδρας, καὶ πρόξενος πολλῶν ἀγαθῶν,

ὡσὰν ὁποῦ συνέχει καὶ συμφυλάσσει τοὺς δύο ἡρωϊκωτάτους ἡγεμόνας, καὶ προσφιλεστάτους αὐταδέλφους ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ ἀγαπήσεως, καὶ παντοτινῆς εὐτυχίας τε καὶ εὐδαιμονίας ἀκαταλύτου. Ἀδελφὸς γὰρ ὁ ὑπ' ἀδελφοῦ βοηθούμενος, κατὰ τὸν σοφὸν παροιμιαστὴν, ὡς πόλις ὀχυρὰ, καὶ ὡς μεμοχλευμένη βασιλεία · τόσον ἐξ ἐναντίας ἀπήντησε παρὰ τὴν ἐλπίδα καὶ ὑπόληψιν τῶν πολλῶν καὶ ἀμαθῶν, τοὺς ὁποίους μὲ τὸ νὰ λανθάνῃ τὸ ἐγκάρδιον φίλτρον τῆς ἀδελφικῆς οἰκειώσεως, ὁποῦ ὡς φυτὸν ἀειθαλὲς ἀκμάζει εἰς τὰ ἐνδότατα τῆς ψυχῆς τῶν θεοσεβεστάτων τούτων ἡγεμόνων, τοὺς ἀπατῶσι τὰ ἔξω φαινόμενα, καὶ κρίνουσιν ἄλλως ἢ ὡς ἔχουσι τὰ πράγματα, νομίζοντες τὴν αὐθεντίαν ταύτην πρόξενον ἐπιβουλῆς καὶ ψυχρότητος, ἢ καταδρομῆς τινος μεταξὺ τῶν αὐταδέλφων · ἀλλ' ἡ θεοφρούρητος αὐτοῦ ὑψηλότης μεγάλας καὶ ἀπείρους ὁμολογοῦσα τὰς χάριτας τῷ πάντα κατὰ τὴν αὐτοῦ ὑψηλότητα φιλαγάθως καὶ εὐσπλάγχνως, προνοητικῶς τε καὶ κηδεμονικῶς οἰκονομήσαντι καὶ εὐδοκήσαντι θεῷ, δοξάζειν μυριάκις τὴν ἄπειρον αὐτοῦ ἀγαθότητα, καὶ διὰ τὸ διπλοῦν αὐτοῦ ἔλεος τῆς θείας αὐτοῦ μεγαλειότητος, τόσον ἐν τῇ θεοβραβεύτῳ ἡγεμονίᾳ, ὅσον καὶ ἐν τῇ μετὰ τοῦ ἀδελφοῦ ἐν εἰρήνῃ καὶ ἀγάπῃ ἑνώσει · τὰ ὁποῖα ἐπειδὴ παρ' ἐλπίδα καὶ ὑπόληψιν τῶν πολλῶν παραδόξως ἐτελειώθησαν, δικαίως πρέπει νὰ ἀναφέρωνται εἰς τὴν τοῦ θεοῦ εὐσπλαγχνίαν καὶ ἀγαθότητα, ἀπὸ τὴν ὁποίαν καὶ δώρημα τελείως καταπέμπεται · καθὼς καὶ ὅσα ἄλλα ἐλέη πλουσίως ἐξέχεεν ὁ θεὸς τῇ αὐτοῦ ὑψηλότητι, τιμήσας αὐτὴν μὲ τὴν τῶν προγόνων εὐγένειαν καὶ λαμπρότητα · ἐπειδὴ καὶ τίς ὅλως ἀγνοεῖ τοὺς προπάτορας τῆς αὐτοῦ ὑψηλότητος, τῶν ὁποίων οἱ ἔπαινοι τὴν οἰκουμένην ὅλην διέδραμον; τὸν ἀείμνηστον λέγω καὶ διαβόητον πάππον αὐτοῦ καὶ αὐθέντην Ἀλέξανδρον τὸν ἐξ ἀπορρήτων, τὴν πηγὴν καὶ ἀρχὴν τῆς ἐν Κωνσταντινουπόλει καὶ σχεδὸν ὅλῃ τῇ Ἑλλάδι ἀναλαμψάσης ἐν τοῖς καθ' ἡμᾶς χρόνοις καὶ καιροῖς σοφίας τε καὶ διδασκαλίας, τὴν καλὴν καὶ θαυμαστὴν ἀπαρχὴν, καὶ τὸ φύραμα τῆς εὐγενείας τε καὶ εὐπαιδευσίας τοῦ τωρινοῦ εὐγενικοῦ καὶ ἀρχοντικοῦ συστήματος, ὁποῦ

ἀκμάζει καὶ θάλλει ἐν τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων. Τοῦ ὁποίου ἀφίνοντες νὰ διηγούμεθα τὰ λοιπὰ γενναῖα καὶ θαυμαστὰ κατορθώματα, ὅσα ἐν τῷ τοῦ γενικοῦ ἑρμηνέως ἀξιώματι παρὰ τῇ κραταιᾷ ὀθωμανικῇ βασιλείᾳ διεπράξατο, ἀρκετὰ εἶναι τὰ σοφώτατα συγγράμματα καὶ πονήματα αὐτοῦ νὰ παραστήσωσι τὸ ὑπερέχον τῆς σοφίας καὶ τῆς τοῦ νοὸς αὐτοῦ τελειότητος · ἀπὸ τοῦ ὁποίου τὰ διειδέστατα τῆς σοφίας καὶ συνέσεως νάματα ποτισθεὶς, καὶ ἐξ αὐτῶν σπαργάνων ὡσὰν εὐγενέστατος βλαστὸς ἀνατραφεὶς καὶ διαπλασθεὶς, ἄριστα καὶ θαυμασιώτατα κατά τε ψυχὴν καὶ τὸν νοῦν, μὲ τὰς πανσόφους πατρικὰς διδασκαλίας, ὁ θαυμαστὸς μὲν ἐκείνου υἱὸς, πατὴρ δὲ ἀξιάγαστος τῆς αὐτοῦ ὑψηλότητος, ὁ ἀοίδιμος δηλαδὴ καὶ ἀείμνηστος αὐθέντης Νικόλαος βοεβόδας, καὶ ὡς ἀπὸ τοιαύτης ῥίζης κλάδος εὐγενὴς, μὲ τὸ τάχος τῆς φύσεως καὶ μὲ τὸ ὑπερέχον τῆς φιλοπονίας, εἰς ὕψος καὶ μέγεθος πάσης ἀρετῶν ἰδέας ἀναδραμὼν, καὶ εἰς πᾶν εἶδος ἐπιστήμης, καὶ σοφίας, καὶ μαθήσεως τὸ ἄκρον καὶ τέλειον καταλαβὼν, οὐ μόνον εἰς ὅλην τὴν οἰκουμένην ἐγένετο περιλάλητος καὶ διαβόητος μὲ τὴν ὑπεροχὴν καὶ τὸ θαῦμα τῆς σοφίας καὶ τῆς τοῦ νοὸς τελειότητος, ἀπαράμιλλος καὶ ἀμίμητος ἀπολειφθεὶς ἐν πάσῃ ἀρετῇ καὶ δυνάμει λόγου, καὶ νοημάτων, καὶ διαλέκτων παντοίων, καὶ καθ' ἑκάτερον εἶδος φιλοσοφίας ἔσχε τὸ ἄκρον καὶ τέλειον, ὅση τε εἰς θεωρίαν καὶ ὅση περὶ τὰ ἤθη στρέφεται, καὶ τὴν περὶ τὰ πρακτέα εὐκοσμίαν διδάσκει · τῆς ὁποίας τελειότητος αὐτοῦ κήρυκες διαπρύσιοι ἡ παρὰ τὰ βασιλικὰ ἀνάκτορα ἐν τῇ τοῦ γενικοῦ ἑρμηνέως ἀξία κατ' ἴχνος τῆς πατρικῆς ἀρετῆς θαυμαστὴ διατριβὴ, καὶ διακονία, καὶ εὐαρέστησις, εἴς τε τὸν κραταιότατον ἄνακτα καὶ τοὺς πολυχρονίους αὐθέντας · ἀπὸ τοὺς ὁποίους ἆθλον ἀρετῆς καὶ βραβεῖον τῆς πιστοτάτης καὶ συνετωτάτης δουλεύσεως ἐπαξίως λαμβάνει τὸ τῆς ἡγεμονίας ἀξίωμα καὶ ἀναγορεύεται αὐθέντης καὶ ἡγεμὼν πρότερον Δακίας, καὶ μετὰ ταῦτα Μυσίας, καὶ ἐπιδείκνυται ἐν ἑκατέραις, ἐφ' ἱκανοὺς χρόνους, τὴν χριστιανικωτάτην καὶ τῷ ὄντι φιλόσοφον κυβέρνησίν τε καὶ μεταχείρισιν, μὲ τὴν ὁποίαν ὄχι μόνον τὰ ὑπήκοα καὶ τῶν δύο ἡγεμονιῶν φιλανθρωπότατα καὶ συνετώτατα

διώκησε καὶ ἐρρύθμισε, καὶ ἐν ἀνέσει πολλῇ εἶχεν, ἀλλὰ καὶ τὸ ἐν τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων εὐγενὲς καὶ ἀρχοντικὸν τῶν πολιτευομένων σύστημα θαυμασίως ἐκόσμησε καὶ ὠφέλησε, καὶ εἰς τὴν νῦν φαινομένην κατάστασιν ἔφερε · καὶ εἴτι καλὸν καὶ ἐπαινετὸν εὐτύχημα καὶ πλεονέκτημα σώζεται καὶ φαίνεται ἐν τοῖς παροῦσι καιροῖς εἰς τὸ καθ' ἡμᾶς γένος, εἶναι καρπὸς καὶ ἀπαρχαὶ τῆς μακαρίας ἐκείνης καὶ τρισολβίου ψυχῆς · τὸ δὲ θαυμαστότερον καὶ πλέον ἀξιαφήγητον κατόρθωμα τοῦ σοφωτάτου ἐκείνου καὶ ὑπερτελεστάτου νοὸς ἐστάθη ὅτι καὶ τοὺς λαμπροτάτους καὶ περιφανεστάτους, καὶ κατὰ πάντα τοῖς πατρικοῖς ἤθεσιν ἀκολουθοῦντας υἱοὺς αὐτοῦ κατὰ τὸν ὅμοιον ἐξεπαίδευσε καὶ ἐκόσμησε τρόπον, ὥστε νὰ γένουν διάδοχοι ἄξιοι καὶ κατάλληλοι καὶ τῆς πατρικῆς ἀρετῆς, καὶ εὐτυχίας, καὶ τιμῆς, καὶ ἀξίας, καὶ τῶν γενναίων καὶ ἡρωϊκῶν κατορθωμάτων.

Διὸ μέγιστον οὐχ ὅπως ἐπὶ σοφίᾳ παρὰ πᾶσιν ὄνομα, ἀλλὰ κἀν ταῖς κατὰ τὸ πολιτικὸν πράξεσιν οὐχ ἧττον ἀπεβλέπετο, καὶ τὰ πρῶτα πάντων φέρειν ἠξίωτο, ὥστε μηδὲν αὐτοῦ τῆς βουλῆς ἄτερ ἐν βασιλείοις διαπράττεσθαι διὰ τὸ ταχέως τὰ δέοντα εὑρίσκειν, καὶ τὰ εὑρεθέντα καλῶς διευθύναι· ἱκανὸς γὰρ ἦν οὐχ ἧττον τῶν πραχθέντων ἢ τῶν διανοητικῶν· ἀληθέστατα γὰρ καὶ περὶ τῶν ἐνεστώτων ἔκρινε, καὶ εὐστοχώτατα περὶ τῶν μελλόντων συνέβαλε, πάντα μὲν ἔχων τῇ βουλήσει ἑπόμενα, τὴν βούλησιν δὲ τῇ φρονήσει συνᾴδουσαν, μὴ ὑπενδιδοὺς τῇ χείρονι κατεξανίστασθαι τοῦ κρείττονος, ἀλλὰ παραχωρεῖν μὲν τῶν πρωτείων, καίπερ δεσπότιν οὖσαν τῶν ἔξω, δέχεσθαι δὲ παρ' αὐτῆς τὰ τῶν πρακτέων συνθήματα τῇ συνοίκῳ καὶ κρείττονι· ἐξ οὗ παρὰ πᾶσιν ἐλαμπρύνετο, καὶ πάντας οἷά τις μαγνήτης ἕλκων πρὸς ἑαυτόν, ὥστε ἐκεῖνον ἀποβλέπειν, καὶ ζηλοῦν ἅπαντας, καὶ μηδένα ἀξιοῦσθαι ἐν τῷ τότε εἶναι ἔξω τῆς θέας καὶ ἐντεύξεως αὐτοῦ γενέσθαι, οὐκ ἀξιώματος ὄγκῳ συνόντα, οὐ στρατιωτικοῖς καταλόγοις ἐμπρέποντα, οὐ τέχναις βαναύσοις σχολάζοντα, ἤδη δέ τινες καὶ τῶν ἐξ ἀλλοδαπῆς πρεσβεύσοντες ἰόντων, περὶ πολλοῦ ἐφαίνοντο ποιούμενοι, ἐν τῷ ἐγγενέσθαι, καὶ δι' αὐτοῦ τὰ τῆς πρεσβείας αὐτῶν ἐκτελεῖσθαι.

Ὁ μὲν οὖν τοιοῦτος ὤν, ὁποίους δὲ τοὺς παῖδας κατέλιπε; μῶν ὥσπερ οἱ λοιποὶ τῶν γεννητόρων, χρήμασι καὶ τοῖς ἄλλοις τῶν ἀγαθῶν, δι' ὧν οἱ ἄνθρωποι τῷ βίῳ μακαρίζονται, καὶ ἃ τὴν συντέλειαν ἄχρι τοῦδε παρέχεται, καταπλουτεῖν ἔσπευδε; τοῖς πατρι-

κοῖς δὲ ἤθεσι στίχειν αὐτὸς, τῷ φόβῳ μᾶλλον κυρίου καὶ νουθεσίᾳ διέτρεφεν, ἢ τοῖς ἄλλοις, οἷς τοὺς τοιούτων παῖδας τρέφεσθαι εἰκός· τὴν ἐκείνου γὰρ ἀρετὴν διώκειν καὶ ὡς ἀρχέτυπον μιμεῖσθαι, ὥσπερ οἱ γραφεῖς, τὸν πατέρα, καὶ ἐπὶ τοῦ βίου δεικνύναι τοὺς λόγους ἐπαίδευεν· ὅθεν καλῶν γεννητόρων καλλίστους παῖδας ἀπέφηνεν, ὡς τὸ τῆς γῆς εὐφορώτατον, πολύχουν τὸν ἄσταχυν ἀποδίδωσι τῷ καταβάλλοντι, ὑποδεξάμενον τὰ σπέρματα καὶ δὴ τῆς πατρῴας ἀρετῆς, οὐ πολὺ τὸ μετὰ τοῦτο, τὰ ἴχνη βαδίσαντες, ἐπὶ τὸ τῆς ἀρετῆς ἄκρον τῷ πατρὶ ὡς ἀετιδεῖς συγκατέπτησαν.

Τίς δ' ἦν οὗτος υἱέων; ὁ σπλαγχνικώτατος ἐκεῖνος καὶ συμπαθέστατος Νικόλαος βοεβόδας, τὸ τῆς σοφίας ἱερὸν ἀγλάϊσμα, ὁ ταῖς Μούσαις συνέστιος καὶ συνοργιαστὴς, τὸ τῆς σοφίας ἐντρύφημα, τὸ ἔμψυχον ὄντως καὶ κάλλιστον θεοφιλοῦς πολιτείας ὑπόδειγμα, ὁ ζηλωτὴς εὐσεβείας, καὶ προϊστάμενος παιδείας, ὁ πολὺς μὲν ἔν τε θεωρίᾳ καὶ πράξει, πολὺς δ' ἐν φιλοσοφίᾳ καὶ ταῖς ἄλλαις καθ' ἐπιστήμην ἀρεταῖς, ὁ ἐν πολλαῖς μὲν καὶ ἄλλαις φωναῖς, τοῖς ἀρίστοις τῶν λόγων παρεξεταζόμενος, καὶ τῶν πρωτείων αὐτῷ εἰκότως παραχωροῦσι, μάλιστα δὲ ἐν τῇ καθ' Ἕλληνας, αὐτοῖς τοῖς ἐνδοξοτέροις τῶν λογίων καὶ τῶν καθ' ἡμᾶς, καὶ τῶν κατ' ἐκεῖνο καιρῶν, ὧν λόγος ἐπ' ἀρετῇ λόγων πολὺς, τὰ πρωτεῖα φέρων κοινῇ ψήφῳ πᾶσι δέδοκται, ὁ τῷ γεννήτορι, καθάπερ ἀετιδεὺς, συμπεριϊπτάμενος, καὶ ἐπιεικὲς τῆς ἐκείνου φύσεως ἐκσφράγισμα γεγονὼς, καὶ ἐκμαγεῖον ἔμφυλον, καὶ καρπὸς ἡδὺς τῷ ἰδίῳ φυτῷ ἐξομοιούμενος, ὃς καὶ πολλάκις τῷ παιδὶ τῶν πρωτείων παρεχώρει ἐναμβρύνεσθαι, μήτε ἑαυτόν τι ζημιῶν, καὶ τοῦ παιδὸς αὔξων τὸ φιλότιμον, ὁ τρόφιμος παιδείας καὶ τοῖς λόγοις ἀπαράμιλλος, τῶν ἡγεμόνων τὸ εὖχος, τῶν πριγκίπων τὸ ἐγκαλλώπισμα, τὸ τῆς φρονήσεως θεότευκτον ἄγαλμα καὶ, συνελόντι φάναι, πασῶν τῶν ἀρετῶν τὸ ἀξιάγαστον πλεονέκτημα· τίνι γάρ ποτε τοσοῦτον ἔμελε τῆς τῶν καλῶν πράξεως; ὥστε τῷ εὐποιεῖν μᾶλλον ἢ τῷ κολάζειν τὴν ἰσχὺν τῆς ἀρχῆς ἐπιδεικνῦναι σπεύδοντα; ἐπ' ἔργοις ἀγαθοῖς πλέον, ἢ τῇ δόξῃ καὶ τῷ πλούτῳ θαυμασθῆναι, περιπλείονος φανέντα ποιούμενον.

Ὥσπερ ποταμὸς ταῖς δοθείσαις τῶν διεξόδων ἀφορμαῖς ὁρμητικώτερον ὑπεξερχόμενος καὶ καταρδεύων πολλὴν ἄρουραν, ταύτῃ τοι οὗτος τῆς οἰκείας φύσεως εὑρὼν δίοδον τὴν ἀρχὴν, πάντων τοὺς κόλπους κατέκλυζεν ἐλεημοσύναις καὶ εὐποιΐαις περιανθιζόμενος, πατὴρ δὲ πάντων, καθ' Ὅμηρον, ἥπιος ἦν· καθάπερ γὰρ τῷ πυρὶ παροπαδεῖ τὸ καίειν, καὶ τῷ ἡλίῳ ἐμφύεται τὸ φωτίζειν, καὶ τὸ ἑλκυστικὸν τῇ μαγνήτιδι, οὕτω τὸ ἀγαθοποιεῖν τῇ τοῦ ἀνδρὸς προαιρέσει· πάντας γὰρ τοὺς πόρρω τε καὶ ἐγγὺς, ποταμὸς ὥσπερ μέγας, ταῖς εὐποιΐαις κατανοτίζοντος, μᾶλλον δ' ἁπάντων τὰς ψυχὰς βελτιώσασθαι ἐπεθύμει, καὶ τῷ γένει τὴν παιδείαν, κάλλιστόν τι οἷον δῶρον ἀνακαλέσασθαι ἐπειρᾶτο· διόπερ μόνος καὶ πρῶτος φροντιστήρια παντοιασοῦν παιδείας συνεστήσατο συντάξεσι, μηδενὸς τοῦτο τῶν πρὸ αὐτοῦ κατορθοῦν ἰσχύσαντος, καί τοι τῶν τότε πραγμάτων ἐπ' αὐτῶν καταρροῦν ἐχόντων· οὐ γὰρ τρυφῆς ἕνεκα ἐκεῖνος ἀπήλαυε τῆς ἡγεμονίας, οὔτε ἐν ἡδυπαθείᾳ τῆς ἐξουσίας, ὥστε πάσας τὰς ἑαυτοῦ ἐμπίπλασθαι ὀρέξεις, ἀλλὰ μεθ' ὑπερβαλλούσης προνοίας τῶν ὑπηκόων ἐπιμελούμενος, τοῦ γένους ἀντελάβετο παιδείαν, διόπερ χρυσοῦς αἰὼν, οὐ μόνον τοῖς ὑπ' αὐτὸν, ἀλλὰ καὶ τοῖς περὶ τοὺς λόγους, ἐνομίζετο ἐκεῖνος· πάντες μὲν γὰρ ἀφθόνως τῆς αὐτοῦ ἀπελάμβανον χάριτος, πλείω μέν τοι, ὅσοι τὸ λέγειν πρὸ ἄλλου τε αἱρούμενοι, καὶ παιδείας αὐτοῖς ἔμελεν, ὅσῳ μὲν γὰρ τοῦ πατρὸς ὑπερέσχε τοῖς ἀξιώμασι, τοσούτῳ δὲ τῷ τῆς φύσεως μεγαλοφυεῖ καὶ μεγαλουργῷ τῆς προαιρέσεως, εὐρυτέραν ὕλην εὑρὼν καὶ μείζω πρὸς τὴν τῶν ἔργων ἀπόδειξιν, ἀνοίκειον εἶναι κρίνων τοὺς παῖδας ἐπιμελεῖσθαι μὲν αὐξάνειν, ἣν ἐκτήσαντο περιουσίαν, τῆς δὲ πατρικῆς ἀμελεῖν ἀρετῆς, καὶ μηδένα ἔχειν λόγον.

Οὐ μὴν ἀλλ' ὡς ἔμπορος ἄριστος τὴν παρὰ τοῦ πατρὸς ἐμπορίαν δεξάμενος, ἐπηύξησε πολλαπλασιάσας τὸ τάλαντον, τὴν περὶ λόγους ἀρετὴν τοῦ πατρὸς, ἀλλὰ καὶ τῶν πρωτείων ὁ πατὴρ τῷ υἱεῖ παρακεχωρήκει τὸν πρὸς παιδείαν ζῆλον, ἀλλ' αὐτὰ τὰ παρ' αὐτοῦ Μουσῶν καταγώγια, μονονουχὶ φωνὴν ἀφιέντα διαπρυσίως κηρύττουσιν, ὁ πρὸς τὴν τοῦ γένους ἐπίδοσιν διακαὴς πόθος, ἀλλὰ μεγάλῃ καὶ

λαμπρᾷ τῇ φωνῇ μαρτυροῦσι τὰ τούτου ἀποτελέσματα · παρίημι λέγειν τὸ πρᾷον τοῦ ἀνδρὸς, καὶ ἀστασίαστον τῆς ψυχῆς, τὴν ἐπὶ προσώπου γαλήνην ἔνθεον, τὸ προσηνὲς, τὸ μειλίχιον, τὸ συμπαθὲς, τὸ πρὸς πάντας συγκαταβατικόν τε καὶ ἥμερον, καὶ τί με δεῖ λέγειν τὰ πολλὰ δι' ὄχλου ὑμῖν γενόμενον; τὸ δὴ μέγιστον καὶ κατ' ἐκεῖνο καιροῦ σπανιώτατον, μή τι γε καθ' ἡμᾶς, τὸ μόνος καὶ πρῶτος τῶν ἐν ἡγεμονίᾳ καὶ δόξῃ καὶ πλούτῳ καὶ τρυφαῖς ὄντων συνοργιᾶσθαι ταῖς Μούσαις, καὶ τοῖς κατὰ ψυχὴν πόνοις καὶ διάνοιαν συνομιλῆσαι, καὶ τούτων μηδαμῆ μηδαμῶς ἀπολιπεῖν μηδὲ μίαν ὑπερβολὴν, καθάπερ τὰ περὶ τούτου συγγράμματα ἐμμάρτυρον τὴν περὶ λόγους ἀρετὴν ἡμῖν κατέλιπον, μεγαλονοίας καὶ φερεπονίας τοῦ ἀνδρὸς ἀπεικάσματα.

Τί δαίη ὁ τούτου μὲν παῖς, σὸς δὲ τοκεύς; μήτε πατρὸς ἀπολιπέσθαι τὰς ἀρετὰς, κατόπιν μένειν ἠνέσχετο; ἢ τῇ τοῦ γένους ἐπαρθεὶς λαμπρότητι, καὶ δόξῃ, καὶ πλούτῳ χρησάμενος (ᾧ τοὺς πολλοὺς ὁρῶμεν χρωμένους) παρὰ φαῦλον ἡγεῖτο ἀρετήν; ἢ οὐχὶ τὴν διαδεχθεῖσαν καὶ ἐπὶ μείζω ἄγειν διὰ φροντίδος εἶχε τὴν χρυσῆν σειρὰν μᾶλλον, καὶ περιπλέκειν πειρώμενος; εἰδὼς πρῶτον μὲν τοὺς ἀγαθοὺς τῶν παίδων δεῖν, ὥσπερ τῆς πατρικῆς περιουσίας, οὕτω καὶ τῆς ἀρετῆς κληρονομεῖν, καὶ καθάπερ ποταμὸς, πόρρωθεν ἀναπηγάζων, περὶ τὰ μέσα ἄφθονόν τε καὶ ἄβατον ποιεῖται τὸ ῥεῦμα, ἀπληστότερον ἐπεξερχόμενος, πολλῶν δ' ἑκατέρωθεν συρρεόντων, τὸν αὐτὸν καὶ οὗτος τρόπον, ἄποθεν μὲν λαβὼν τὰς ἀφορμὰς, πολλῶν δὲ καὶ ἄλλων παρὰ τῆς φύσεως συνελθόντων, ἀφθονώτερον ἐχρῆτο τοῖς φύσει, καὶ ἔξω τῶν καλῶν, μάλιστα δ' ἂν ἁρμόττοι λέγειν τὴν περὶ αὐτὸν ἀρετὴν ἡρωϊκήν τε καὶ θείαν, καθάπερ Ὅμηρος περὶ Ἕκτορος πεποίηκε λέγοντα Πρίαμον, ὅτι σφόδρα ἦν ἀγαθὸς, οὐδὲ ἐώκει ἀνδρός γε θνητοῦ παῖς ἐμμέναι, ἀλλὰ θεοῖο · εἶτα δὲ τὸν ἀρχῆς μὲν ἐπιλαβόμενον καὶ πολλῶν δ' ἄρχειν ταχθέντα, τοῦτον ἀνάγκη τὴν ἀρετὴν πᾶσι τοῖς ὑπὸ χεῖρα κοινοῦσθαι, τῶν γὰρ ἑνὸς ἀγαθῶν πολλοὶ ἐφευρίσκονται ἄνθρωποι · ὃς γὰρ πολλῶν ἡγεῖται, τούτων ταῖς κατ' ἀρετὴν πράξεσι μᾶλλον ὑπερέχειν τοῦ κατὰ τὴν

ἀρχὴν, ὅπως μὴ τὸ τῆς παροιμίας ἐπ' αὐτοῖς κομψὸν λεχθείη, ἐὰν τὸ ὕδωρ πνίγῃ, τί δεῖ ἐπιπίνειν; τούτων οὖν ἐπὶ νοῦν ἐλθόντων τῷ ἀοιδίμῳ ἐκείνῳ, ἐπεχείρει εἰς δύναμιν μιμήσασθαι ὃν ἀρχέτυπον εἶχε, τὸ πρῶτον πάντων τῶν ἀγαθῶν αἴτιον, ὃς, κατὰ μίμησιν ὑπερκόσμιον, καὶ τὰ τῇδε ἐθέλει τετάχθαι. Ὅθεν ὑπέκλυζε μὲν ἀγαθοῖς πάντας, παρεῖχε δὲ εὐδαιμονίαν ὅση δυνατὴ τῶν ὑπ' αὐτῷ ἑκάστῳ, τοῦ μὴ ἐν αἰσχύνῃ τὴν ὁμωνυμίαν ποιεῖσθαι, καὶ ἀνάξιον τῆς ἣν ἐτάχθη τάξεως ὀφθῆναι, ἀλλ' ἐπιτίθεσθαι τῇ μιμήσει, πᾶσι τοῖς προκειμένοις τῶν ἀγαθῶν, εἰς ἀνθρώπων εὐεργεσίας διανεμόμενον. Ἔνθεν τοι ζηλωτὸς μὲν ἐφαίνετο τοῖς συγγινομένοις αὐτῷ, ἐραστὸς δὲ τοῖς πόρρωθεν, ἀγαθοῖς δ' εὐχὴ τεύξασθαι εὐνοίας αὐτοῦ.

Δημοτικὸς μὲν οὖν ἦν ἐν τῇ τοῦ πλήθους θεραπείᾳ, ἀνέδην ἑαυτὸν τοῖς πᾶσι δοὺς καὶ ἐλεύθερον · τοῖς μὲν ἐξαμαρτάνουσιν ἵλεως, ἐπιτετιμηκὼς τὸ ὁριμὺ τῆς δικαιοσύνης συγκερασάμενος τῷ ἐλαίῳ τῆς ἐλεημοσύνης, τοὺς δὲ καλῶς πράττοντας κατ' ἀξίαν τιμήσας, οὔτε ὅλως πρὸς χάριν, οὔτε μὴ οὐχὶ ἐχαρίζετο, σφαλερὰν πάντῃ τὴν τοιαύτην πολιτείαν εἰδώς · συναπόλλυσι γὰρ τὸν πρὸς χάριν λέγοντα, καὶ προσαπόλλυσι τὸν μὴ χαριζόμενον · ἀλλ' ὥσπερ οἱ περὶ τὴν μαθηματικὴν τὸν ἥλιόν φασι μήτε τὴν αὐτὴν τῷ ὅλῳ φορὰν φερόμενον, μήτε ἄντικρυς ἐναντίαν, καὶ ὅλως ἀντιβατικὴν, λοξῷ δέ τινι, καὶ παρεγκεκλισμένῳ πορείας σχήματι διϊππεύοντα, ὑγράν τινα καὶ εὐκαμπῆ καὶ περιελιττομένην ἕλικα ποιεῖν, δι' ἧς πάντα σώζεται, καὶ τὴν ἀρίστην κρᾶσιν λαμβάνει, οὕτως ἄρα πολιτικῆς ὁ μὲν ὀρθὸς λόγος, ὁ πρὸς ἅπαντα ἀντιβαίνων, ἀπηνὴς καὶ σκληρὸς, καθάπερ οὐκ ἀσφαλὲς, ἀλλ' ὀλισθηρὸν, τὸ τοῖς ἁμαρτάνουσι συνεφέλκεσθαι.

Πολιτικῆς δὲ τοσαύτης αὐτῷ περιῆν, ὥστε μηδένα εἶναι τὸν τούτῳ παραβαλλόμενον · τίς γὰρ ὡς οὗτος τοῖς καιροῖς καλῶς οἶδε χρήσασθαι, καὶ μεταβαλλομένων τῶν πραγμάτων συμμεταβάλλεσθαι, καὶ μάλιστα μὴ κατὰ ῥοῦν φερομένων; τί οὖν ἄν τις εἴποι ἀξίως αὐτὸν ἐπαινέσει; σωτῆρα καὶ ἐλευθερωτὴν τῆς πατρίδος ἀποκαλῶν, οὐ καταγράψητό τις ἂν αὐτοῦ τὸ ψεύδεσθαι ἐν τῷ λέγειν, καὶ

γὰρ οὗτος, ὥσπερ Μιλτιάδης κινδύνου πάσης ἐπικρατουμένης Ἑλλάδος, λυτρωτὴς ταύτης ἐπεγράφετο · καὶ Θεμιστοκλῆς τὸ δεύτερον ἐπὶ Ξέρξου, διὰ θαλάσσης τε καὶ ἠπείρου σὺν ἀπείρῳ στρατῷ καταλαβόντος τὴν Ἀττικήν, τῷ πολιτικῷ αὐτοῦ φρονήματι, καὶ σοφῷ ἐπιχειρήματι μᾶλλον ἢ τῷ πολέμῳ ἡ Ἑλλὰς ἠλευθέρωται, οὔτε δὴ πάντων ἐν κινδύνῳ τὴν σωτηρίαν ἐπαλαμήσατο, τῆς σωτηρίας τῶν πολλῶν περὶ πλεῖον φαίνεται προνοούμενος ἢ τῆς ἰδίας ἀρχῆς, μικροῦ δεῖν ὑπὲρ τῶν πολλῶν καὶ κινδύνῳ περιπέπτωκεν · καὶ γὰρ οὕτως ἔχει · τῶν μὲν ἄλλων τοῖς ὅλοις ἀμηχανησάντων, μηδενὸς αὐτοῖς τὸ πρακτέον ἐπινοήσαντος, μόνος δ' οὗτος ὑπὲρ λαοῦ θύεσθαι προείλετο.

Τίνα μέν τοι καὶ περὶ λόγους λόγον εἶχε, καὶ τἄλλα, ἃ τὴν ψυχὴν τρέφειν εἰκός; μὴ ῥᾳθυμίᾳ εἴκων; δεύτερα τῶν ἄλλων ταῦτα ἐπεποίητο; ἔστι μέν, ἔστιν αὐτῷ οἷα οὐδενὶ τῶν πρὸ αὐτοῦ · οἱ μὲν διὰ φροντίδος εἶχον, ὥστε κάλλη νεῶν ἀνεγείρεσθαι, καὶ τὰς πόλεις ὕδατι καταρρύεσθαι, καὶ ἃ τὴν συντέλειαν ἄχρι τοῦδε παρέχεται, καὶ τοῖς ἐνθάδε μόνοις τὴν χάριν δωρεῖται, ὧν τὰ μὲν χρόνος διαρρέων βυθῷ λήθης παρέδωκε, τῇ τῶν πολλῶν μνήμῃ ἐξίτηλα πεποιηκώς · ἄττα δὲ μείζονος λόγου οὐκ ἄξια, μηδὲ ἀκολουθίᾳ μνήμης πρὸς ἡμᾶς διασώζονται, πρὸς τὸ μὴ πολλοὺς ὠφελεῖν δύνασθαι · ὁ δὲ τοῦ κρείττονος περὶ πολλοῦ λόγου ἐδόκει ποιούμενος καὶ τῶν πολλῶν δυναμένων ὀνίνασθαι, καὶ ἀοίδιμον τὴν μνήμην τοῖς κεκτημένοις παρέχεσθαι · ἐπεμελεῖτο μὲν παιδείας, οἷον οὐδεὶς, καὶ τοὺς περὶ λόγους ἄγαν ἐδεξιοῦτο, συνεχῶς αὐτοῖς συγγινόμενος, καὶ τοτὲ μὲν αὐτοῖς προβάλλων τῶν παρὰ φιλοσοφίαν τι δυσξυμβλήτων, ὡς πατὴρ τοὺς υἱεῖς πρὸς τὸν ἀγῶνα ὑπενδύεσθαι προὐκαλεῖτο · τοτὲ δὲ καὶ τὰ παρ' αὐτῶν πάνυ νουνεχῶς χαριέντως τε ἐπιλύων, ὥστε πολλάκις Μουσῶν ἱερὸς χορὸς τὸ πρυτανεῖον ἐδόκει, καὶ τῶν μουσοτρόφων αἰὼν ὁ χρυσοῦς · οὐ μέν τοι καὶ τῶν ἱερῶν ἠμέλησε βίβλων, ἐν ἀλλοτρίᾳ τῇ ἐκκλησίᾳ, κελαδούντων φωνῇ τῶν ἀκουόντων, καὶ μὴ τῶν ᾀδομένων συνιέντων, ἀλλὰ μάλα σπουδαίων, καὶ διὰ τάχους πανταχόθεν μετεπέμψατο, τοὺς ἐμπείρους ἑκατέρων τῶν

φωνῶν ἁδραῖς συντάξεσι, καὶ ἡγεμονικαῖς τῷ ὄντι δεξιώσεσιν αὐτοὺς φιλοφρονησάμενος, τοῦ ἔργου ἥψατο, καὶ εἰς ἔκβασιν (θεοῦ ἡγουμένου) τὸ ἐπιχειρισθὲν μετὰ πλείονος ὅσης τῆς ὠφελείας ἤγαγε· περιλείψει με ὁ χρόνος περὶ τῆς εἰς τὰ θεῖα αὐτοῦ εὐλαβείας διηγούμενον, καὶ τῆς τῶν θείων νεῶν, οὐ τῆς ἔξωθεν ἐπιμελείας καὶ φαινομένης, τῆς ἀληθοῦς δὲ καὶ οἷα νεῷ καταχαλλύνονται, ἄνδρας λογίους ὑπουργοὺς αὐτοῖς προσκτώμενοι· καὶ τί με δεῖ μακρηγορεῖν; ῥᾴδιον γάρ ἐστιν ἰδεῖν ἐκ τῶν ἔργων ἐκείνου, ᾧ ἡ τῶν τρόπων ἀρετὴ, καὶ τῆς πρὸς τὰ ἱερὰ σπουδῆς τηλικοῦτον εὐφημίας ταῖς πράξεσι λόγον παρὰ πᾶσιν ἐπέθηκεν, ὥστε μηδὲ τὸν ἅπαντα δύνασθαι αἰῶνα λήθης τάφον ἐμποιῆσαι τῶν ἐκείνῳ εἰργασμένων ἀγαθῶν.

Ἐκ τούτου οὖν φὺς, διογενὲς ἡγεμὼν εὐσεβέστατε, καὶ πόρρωθεν τὰς ἀρχὰς, ὡς οἱ μέγιστοι τῶν ποταμῶν, ἐσχηκὼς, καὶ οὐκ ἐπεισάκτῳ, ὥσπερ οἱ λοιποὶ, σεμνυνόμενος ἀρχῇ, μηδόλως πεῖραν λαβὼν σπαργάνων ἰδιωτικῶν, ἀλλ' ἡγεμονικῇ, ἐξ αὐτῆς, ὃ λέγεται, τοῦ ζῆν γραμμῆς, ὑπεδέξατό σε ἑστία, καὶ ἡγεμονικῶς κατ' ἄμφω ἐθρέψατο, μέγιστον πάντων φέρεις τὸ κλέος· τῇ γὰρ ἐκείνῃ χρυσῇ ὄντως πείρᾳ, παρ' ἧς τῷ γένει ὅτι πλεῖστα τῶν ἀγαθῶν ἐπεδαψιλεύθη δικαίως ἐπεισῆλθεν, ἄριστα τὴν ἁρμονίαν ἐναπεργασάμενος ἣν διαιωνίσαι ἅπασιν εὐκτέον, ἑξῆς αὖθις χρῆσταὶ ἐλπίδες, τῷ γένει προέκυψαν, ἧς μικροῦ διέφυγα, καὶ τὴν ὑστέρησιν ὠλοφύρετο, ἀλλ' ὁ γενεὰν δικαίων εὐλογῶν καὶ κληρονομίαν διδοὺς τοῖς φοβουμένοις τὸ ὄνομα αὐτοῦ παρέσχετο υἱοὺς, οἵους ἔδει, παρ' οἵου πατρὸς ἐγεννήθησαν, χαρακτηρίζεσθαι, καὶ τὸ δένδρον ἐκ τοῦ καρποῦ γνωρίζεσθαι· καὶ γὰρ (παῦροι μὲν υἱοὶ πατέρων ἀμείνους, πλείους δὲ χείρους) ὡς ἀγαθὸς γραφεὺς, τὰς τῶν προγόνων προαιρέσεις, ὡς ἀρχετύπους εἰκόνας ἐνστησάμενος μείζους καὶ λαμπροτέρας τὰς κατ' ἀρετὴν πράξεις ἐπιδεῖξαι πειρώμενος, καὶ ταύτης αὐτῶν ὑπεροχεῖν ἀμιλλώμενος, εἴ γε ἐξ αὐτῆς τῆς ἀρχῆς εὐποιϊῶν παντοδαπῶν ἁπαξάπαντας δαψιλῶς ὁρῶμεν ἀπολαμβάνοντας· τὴν γὰρ σὴν εὐσεβεστάτην μεγαλοπρέπειαν ἐγύμνασεν ἀρετὴ, καὶ προήγαγε δεο-

μένην ὕλης ἀποχρώσης τῷ οἰκείῳ μεγέθει, ὥστε πρὸς πολλῶν εὐποιΐαν ὑπερεκχεῖσθαι, καὶ παραρριφθεῖσαν ἄπρακτον καταμαραίνεσθαι, μὴ ἔχουσαν ὅποι χρήσαιτο τὴν δύναμιν · οὐ γὰρ ἂν χειροῖτο ἐν ὑποθέσει βίον μεγίστης ἀρχῆς ἐλάττονι, ὅσῳ μὲν γὰρ τὸ ὕψος ἔχει ἁπάντων ὑπερεκτεινομένη, τοσαύτης δὲ δεῖται καὶ τῆς μεγαλοφυΐας, τῆς ἐν τῇ γνώμῃ ἀγαθῆς προαιρέσεως πρόοδον εὑρισκούσης εἰς ἐνέργειαν ὥσπερ εὐτυχέστατον ἀπεῖναι τοῖς ἥκιστα ἐπιβόλοις νοῦ καὶ φρονήσεως τὰ μέσα, ὥστε μὴ πέρα τοῦ δέοντος ἁμαρτάνειν, οὕτως εὐκτέον τοῖς ἄλλοις, διατεθειμένοις παρεῖναι, δι' ὧν προνοίας ἡγεμονικῆς, καὶ ἔμφρονος ἀπολαύοιεν πόλεις καὶ πόρρωθεν καὶ ἐγγὺς · οὐ γὰρ πέφυκας, ἄριστε ἡγεμών, καὶ τὴν φύσιν καὶ τὴν προαίρεσιν, καὶ τὸ εἶδος κατ' ἀξίαν θεοειδής, καὶ θεῖον τῷ ὄντι ἐντρύφημα, ἀπὸ μεγαλοπρεπῶν ἡγεμόνων καὶ ἐπὶ ἀληθείᾳ ἐνδόξων · τοίου γὰρ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις, δι' οὗ περ ῥεῖα ἀρίγνωτος γόνος. Ὅθεν ἀμφοτέρων ἐν σοὶ τῶν τῆς ἀρετῆς συνελθόντων ἀγαθῶν, ἀγαμένων σοι καὶ τὰ τῆς ψυχῆς λίαν λαμπρῶς μεμηχάνηται πρόθυρα, ταῖς κατ' ἄμφω ἐμφύτοις κοσμηθέντι μαρμαρυγαῖς, οἷά τις ἑωσφόρος, καταυγάζοντι τὸ τῶν πιστῶν πλήρωμα · καὶ γὰρ ἄνωθεν τὰς ἐπιρροίας τῇ ψυχῇ καταδεδειγμένος, καὶ λογικὸς μὲν ἐκ τοῦ καθόλου λόγου γεγονὼς, δίκαιος δὲ μετοχῇ δικαιοσύνης, σώφρων δὲ σωφρωσύνης ἰδέᾳ, καὶ τῆς ἄνω μέτοχος δυνάμεως, πῶς οὐκ ἂν εὐζωΐαν τε καὶ εὐπραγίαν ὅτι πλείστην τοῖς ἀρχομένοις μὴ παρέξειας ; καὶ τὸ δυστυχὲς ἡμῶν γένος ἐπὶ σὲ, μετὰ τὸ πρῶτον τῶν ἀγαθῶν, καὶ τὰς ἀγαθὰς ἐλπίδας ἐπιθείη, κηδεμὼν πολλῶν γενόμενος ; ἐντεῦθεν οὖν καὶ τῇ παιδείᾳ αὖθις ἔπεστι ταῖς ἐλπίσιν ἀναπτεροῦσθαι, καὶ τὰ μέγιστα φαντάζεσθαι, εὑροῦσαν, ὃν πάλαι ἐμυεῖτο, καὶ ἰδεῖν πάλιν ἐπὶ θρόνου ἀξιωθεῖσαν τὸν ἐκ τῶν αὐτῆς ποτε προϊσταμένων, ἐξ οὗ ἐλπίζει, οἶμαι, μηδὲν ψεύσασθαι τῶν ἐλπίδων, ὡς ἀναξία παροφθεῖσα, ἀλλὰ μικρόν τι τῇ μεγαλοπρεπείᾳ τῆς σῆς θεοστηρίκτου προκύψασα γαληνότητος, φιλοφρόνως ἂν ὑποδεχθείη, ἀπεκδυσαμένη μὲν τὰ ῥακώδη, καὶ ἐκ πολλῶν ῥερυπωμένα αὐτῆς περιβλήματα, περιβάλλουσα δὲ νέαν στολὴν καὶ

λαμπροτέραν, καὶ τῆς ἀρχαίας ἐκείνης μηδαμῶς ἀπολειπομένην διαυγείας, ἧς πάνυ τοῖς ἡμετέροις ἔμελε γεννήτορσιν, ἐν τοῖς ἀνωτέρω ἐλέγομεν, τῶν ἄλλων πάντων δεύτερα ταύτης, ὅτι μὴ πᾶσα ἀνάγκη, περὶ πολλοῦ ποιουμένοις.

Οὔκουν φόβῳ κατεχομένη, ἀλλὰ θάρρει παρίσταται, τὰ θρέπτρα αὐτῆς καὶ δίδακτρα ἀπαιτοῦσα, χρῄζουσα τῆς ὑμετέρας μεγαλοπρεποῦς συναντιλήψεως, εἰ μέλλει τι διαπράξασθαι τῆς ἀρχαιολογίας ἐπάξιον, ταύτης μὲν δὴ τὴν ἔνδειαν ἰάσεσθαι ἐλπίζει, ἐπιλαβομένη τῶν μέσων, καὶ περιτυχοῦσα, ὧν πάλαι εὑρεῖν ἔμενεν· εἶτα δὲ ἐλευθεροστομεῖ, καὶ ἡγεμόνα θαρρεῖ, καὶ μάλα τοιοῦτον, οἷος σὺ τρόφιμος ταύτης, καὶ πάντα ὑπείκων, ὡς σύνεδρον θρόνον, καὶ σύνδρομον ἀρχικὸν ἐπὶ τῷ τῆς φρονήσεως ἐπιστημονικῷ ἔχων, ἐξ ἧς ἄφθονος εὐζωΐα ὅτι πλείστη χάρις τοῖς ὑπὸ χεῖρα πρυτανεύεται· ἧς τὸ τυχὸν μέρος ἡγεῖται περιτυχεῖν, καὶ κηδεμονίας ἔμφρονος ἀξιωθῆναι, καὶ τῆς αὐτοψεὶ θέας καὶ ἡγεμονικῆς ὑποδεξιώσεως, ἐφ' ᾗ μᾶλλον σεμνύνεται, ἤ περ ἡ βασίλισσα νότου τῇ τοῦ Σολομῶντος ξυντυχίᾳ, καὶ ἐπὶ τὸ κρεῖττον χωρεῖ· τούτων γὰρ τῶν ἐπιδόσεων αἱ μελέται ὧν καὶ οἱ ἔπαινοι, ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν ἔπαινος ἐπὶ τούτου, οὐδὲ ἐπίδοσις· σὲ δὲ, γαληνότατε, ἡγοῦμαι ἀντιλαβέσθαι ταύτης, εἴπέρ τινα ἄλλον, ὡς πατρικοῦ ἀναθήματος, καὶ θρόνου ἀκλινοῦς ἐπερείσματος, ἐφ' ἧς τὴν ἀρχὴν ἐπεστήριξας, καὶ ἐν εὐσεβείᾳ ἐκρήπισας, διὸ χεὶρ κυρίου συναντιλήψεταί σοι, καὶ ὁ βραχίων αὐτοῦ κατισχύσει σε, ὥστε τὸν τῆς ἀνομίας υἱὸν μὴ προσθεῖναι τοῦ κακῶσαί σε, καὶ τὸν ἀντικείμενον ἐν σοὶ μὴ ὠφελῆσαι χεῖρας ἀδίκους ἐπαγαγεῖν, ὅτι τὸ ἔλεος καὶ ἡ ἀλήθεια αὐτοῦ εἴη μετὰ σοῦ, τοῦ διαφυλάξαι σε νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ εἰς γενεὰν γενεῶν οἰκοδομῆσαι τὸν θρόνου σου, διὰ τὸ διαθέσθαι διαθήκην μετὰ τῶν ἐκλεκτῶν αὐτοῦ, τὸ σπέρμα αὐτῶν μενεῖ εἰς τὸν αἰῶνα, καὶ ὁ θρόνος αὐτοῦ ἕως ἐπὶ γῆς ἥλιος φαίνῃ, καὶ ἡ σελήνη κατηρτισμένη ἐν οὐρανῷ αὐγάζῃ.

Τῆς ὑμετέρας θεοσεβεστάτου γαληνότητος ὑποκλινὴς καὶ εὐτελὴς δοῦλος.

Ἰωσὴφ ἱερομόναχος Βατοπαιδινὸς διδάσκαλος τῆς ἐν Γιασίῳ σχολῆς Πελοποννήσιος.

*
* *

Λόγος ἕτερος, ἐπιγραφόμενος στήλη ἡγεμονικῆς φρονήσεως, ἐν ᾧ δείκνυται ὅθεν τὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἐγγίνεται καὶ ἀληθῶς εὐδαίμων καὶ μακάριος ἄνθρωπος λέγεται.

Τῷ μεγαλοπρεπεστάτῳ ἡγεμόνι πάσης Οὐγκροβλαχίας.

Ἅπασι μὲν, θεοσεβέστατε καὶ γαληνότατε ἡγεμὼν, φυτουργοῖς καὶ τοῖς οὐτινοσοῦν τελεσιουργοῖς τὰ πρωτόλεια τῶν καρπῶν, ὡς ἀπαρχὰς προσενεγκεῖν αὐτῶν τοῖς δεσπόταις, ὥσπερ καὶ θεῷ τὸ πάλαι Ἄβελ προσάγειν ἀκούομεν, νόμῳ προστεταγμένον, καὶ κατ' ὀφειλὴν δέδοκται, τοῖς δ' ἀμηγέπη παιδείας μετειληχόσι, καὶ περὶ λόγους ἐντρυφῶσι, τὰ ἐκ τῆς παιδείας γεννήματα, ἃ κομψῶς τις τῶν πάλαι παῖδας ταύτης ὀνομῆναι ἐθάρρησε, προσάγειν, καὶ τοῖς τοῦ λόγου προσαγαγέσθαι οἱονεὶ δεσπόταις, ἡγήτορσιν, οὐχ ὅτι γ' εἴθισται, ἀλλά γε δὴ καὶ διὰ σπουδῆς αὐτοῖς τὸ ἔργον ἔμελεν, ὥσπερ πολλοὺς ὁρῶμεν τοὺς χρωμένους · ἐμοὶ δὲ, εἰ καὶ ἄκρως πως παιδείας, καὶ ὡς εἰπεῖν ἄκροις χείλεσι γευσαμένῳ, τῶν μέσων ἀπολιπόντι, τὰ πρῶτα ταύτης, δεῖν σοὶ προσφέρειν καὶ παραθέσθαι ταῦτα νομίζειν, καί τοι τῷ δεξομένῳ, μὴ ὡς δεῖ, ἀλλ' οὖν μοι κατ' ὀφειλὴν καὶ χρέος χρεὼν τὸ δικαιότατον δέδοκται · τῷ γὰρ τὰ νενομισμένα δρῶντι καὶ τῷ ὀφείλοντι, ὡς οἰκείῳ δεσπότῃ προσκομίζοντι τὰ ὀφειλόμενα, οὐδὲν ἕτερον, ὅ, τι μὴ τὸ ὄφλημα ἀποδίδωσι, κέκριται, ἀνυποταξία, καὶ ἀμελείας μὴ ὀφλισκάνοντι γραφὴν, καίπερ πολλάκις τὸ προσενεχθὲν εὐτελὲς μέν τι νομίζεται, ἀλλ' οὐδὲν πρὸς τὴν τοῦ δοθέντος τιμὴν, πρὸς δὲ τὴν τοῦ δίδοντος διάθεσιν, μετρεῖται ἡ ἀνταπόδοσις · δέξαι, τοιγαροῦν, ὦ θεοσεβέστατε καὶ γαληνότατε ἡγεμὼν, τὰς παρ' ἐμοῦ σοι ἀπαρχὰς τῶν λόγων προσάγοντος, μικρὰς μὲν, καὶ οἷον ἀκατεργάστους, τοῦ ἡλίου ταύτας μὴ ἐπὶ πολὺ

περιθάλποντος · διὸ ἀπεπείρους σοι παρατιθεμένας καὶ ἀποστειλαμένας σοὶ εἰπεῖν ἐπὶ ὀνείαθ' ἑτοίμα κείμενα πολλὰ χεῖρας ἰάλλειν, ἀλλὰ δή τοι σημεῖον ὑποκλινοῦς διαθέσεως, δῶρον δὲ Μουσῶν δι' ἐμοῦ προσαγόμενον · τίνι γὰρ ἂν ἄλλῳ ποτὲ δίκαιον εἴη ταῖς Μούσαις, ἐκ τῶν τῶν λόγων λειμώνων ἄνθη ἐπιλεξαμέναις καὶ στέφανον κατεργαζούσαις, προσενεγκεῖν καὶ ἐπιθεῖναι τῇ κεφαλῇ εἰ μὴ τῷ μουσηγέτῃ καὶ τῷ υἱῷ καὶ ἀπογόνῳ τῶν ταῖς Μούσαις διὰ παντὸς συνοργιασάντων, καὶ ὧν ὁ βίος λόγος, οὓς καὶ ἀρχηγέτας Μουσῶν τῶν ἐφ' ἡμῶν ἄν τις εἴποι, οὐκ ἂν ἁμάρτοι τοῦ λόγου · τίς γὰρ ἂν ἄλλος τῶν καθ' ἡμᾶς τοσοῦτον παιδείας εἴη μεμελετηκώς, καὶ ταύτης πλέον ἢ ἄλλου του περὶ πολλοῦ ποιούμενος; κωφὸς γὰρ, φησὶν ἡ παροιμία, ὃς Ἡρακλεῖ στόμα μὴ παραβάλλῃ, ἐγὼ δὲ οὐ μόνον κωφὸν εἶναι ἀλλὰ δὴ καὶ τυφλὸν, καὶ φθόνῳ ἐντετηκότα, καὶ τῷ πατρὶ αὐτοῦ ἐξομοιούμενον, τὸν τοῖς μακαρίοις ἐκείνοις ἀνδράσι μὴ παραβάλλοντα στόμα, ἡγοῦμαι, καὶ παρὰ πᾶσιν, οἷς τὸ φρονεῖν καὶ ὁ τῆς ἀληθείας ἐντέτηκται λόγος, ψῆφον ἐνέχθαι, μηδέν με ἐψεῦσθαι · ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν οἶμαι τὴν παρὰ τούτων εὔνοιαν, φανερὰν τῷ γένει ἡμῶν γεγενημένην, οὐχ ἥκιστα δὲ ἐν τῇ τῆς παιδείας σπουδῇ · τὸ γὰρ μὴ μόνον συνεργοὺς γεγενῆσθαι τῶν ἐπιδόσεων, καὶ ἐπὶ τὸ κρεῖττον (τὸ πάλαι μὲν παιδείας κλέος οὐ τὸ τυχὸν ἀπενεγκάμενον γένος ἡμῶν, νῦν δὲ χρείᾳ τῶν, δι' ὧν παιδεία δημοσιεύεται, ἐς ἔσχατον ἀπαιδευσίας κατενεχθὲν, ἀρθέντων τῶν μέσων) προαγαγεῖν καὶ χεῖρα ὀρέξαι τῷ δυστυχεῖ γένει τῶν Ἑλλήνων, ἀλλὰ καὶ σφᾶς αὐτοὺς ὅλως ἐκδοῦναι τῇ παιδείᾳ, πολλὰ καὶ ἄριστα συνταξαμένους, σοφίας γέμοντα, παραδοῦναι τῷ γένει τὸν τῆς παιδείας σπινθῆρα ἀναρριπισθῆναι αὖθις, μεγίστη ἔοικε καὶ θεία παντάπασιν εὐεργεσία · εἰ γὰρ ἐκεῖνοι, οἱ πάντ' ἄριστοι ἄνδρες (ὧν μάλιστ' ἂν ἁρμόττοι λέγειν τὴν ὑπὲρ αὐτοὺς ἀρετὴν ἡρωϊκὴν καὶ θείαν, ὥσπερ καὶ Ὅμηρος περὶ Ἕκτορος πεποίηκε λέγοντα Πρίαμον, ὅτι σφόδρα ἦν ἀγαθὸς, οὐδ' ἐκκόκυσαν ἀνδρός γε θνητοῦ παῖδες ἔμμεναι, ἀλλὰ θεοῖο) πάντα παιδείας δεύτερα ποιούμενοι, πολὺν περὶ ταύτης λόγον ἔχοιεν, τὰ πρὸς ἐπαύξησιν ἀεὶ αὐτῆς μεριμνῶντες, καὶ σηκοὺς

ἱεροὺς ἀναδειμάμενοι Μουσῶν μὴ παυόμενοι, καὶ ταύτας ἀνακαλεῖν πειρώμενοι, πάλαι ἂν λήθης τάφος τὴν παιδείαν ἔκρυψε, καὶ πόρρω ἡμῶν ἀπῴκισεν · ἀλλ' οἷον δή τινες ἀναφανέντες κομῆται, προμηνύοντες τὴν ἐς αὖθις ὁπωσδηποτοῦν ἀνάκλησιν καὶ προσαγωγὴν τῆς ἀρχαίας ἐκείνης λαμπρότητος, ἐξαλειφθῆναι εἰσάπαξ, καὶ τελείως ἀμαυρωθῆναι καὶ μηδαμῆ μηδαμῶς ἐναπομεῖναι μηδεμίαν τῷ γένει παιδείας ῥανίδα, οὐκ ἀνήρχοντο οἷοι φιλογενεῖς καὶ τοῦ γένους θείᾳ συνάρσει πρωτεύοντες, ἀλλὰ πρὸς αὐτῶν εἶναι ἡγούμενοι, τοῦ θεοῦ εἰς τοῦτο αὐτοὺς τάξαντος, πολλὰς μὲν συνταξάμενοι βίβλους, πολλὰς δὲ καὶ διὰ λόγου καὶ ἔργου προτροπὰς ἐπιδεικνῦντες πανταχοῦ, πολλῶν δὲ καὶ λόγων ἐρώντων συνεργοὶ γενόμενοι ἀνερρίπισαν αὖθις τὸ τῆς πίστεως ἔναυσμα, καταλιπόντες ἡμᾶς οὐ μόνον τῆς ἀρχῆς διαδόχους (ἦν τὸ θεῖον ἀστασίαστον διατηροῖοι, καὶ ἐς ἀεὶ διαμένουσαν ἐς γενεὰς γενεῶν ἕως ἀνταναιρεθῇ ἡ σελήνη) ἀλλὰ καὶ συνεργοὺς καὶ ἡγήτορας παιδείας, τοῖς ἴχνεσιν ἐκείνων ἑπομένους · οὐ γὰρ ἂν εἴη ἔργον θέμιδος, ἀλλ' οὐ πρὸς τρόπου υἱοῦ ἀγαθοῦ, τῆς μὲν οὐσίας κληρονομεῖν, τῆς ἀρετῆς δὲ τῆς πατρικῆς ὀλιγωρεῖν · ἀλλ' οὐκ ἦν, οἶμαι, σὸν τοῦ τὰ πατρικὰ δίκαια πάντα εἰδότος, καὶ οἷς ὀφείλει τοὺς παῖδας μιμεῖσθαι τοὺς αὐτῶν γεννήτορας, πειρωμένους τοιούτων, οἵων αὐτός, ἄφθιτα μήδεα εἰδότων, ὧν μεσταὶ μὲν πάσαι ἀγυιαί, πᾶσαι δ' ἀνθρώπων ἀγοραί · ἐκ τούτων οὖν φύς, μνῆσαι πατρὸς σοῖο, θεοῖς ἐπιείκελε ἡγεμών, πέπνυσαι δὲ νόῳ, μακάρων δ' ἕξεσι τοκέων, πειρώμενος μὴ μόνον μιμήσασθαι, ἀλλὰ τῷ τε ζήλῳ, καὶ τῇ πρὸς τὰ καλὰ ῥοπῇ πλεονεκτεῖν αὐτῶν · οὐ γὰρ ἔνι τοὺς ἀγαθοὺς πατέρας ἐπιδιδοῦσι πρὸς τὰ τῆς σπουδῆς ἄξια ἐχθραίνειν τοῖς αὐτῶν παισίν, ἀλλὰ μᾶλλον χαίρειν (εἴ τις ἔστιν αἴσθησις τοῖς τετελευτηκόσιν) ὁρῶντας αὐτοὺς ἀγωνιζομένους ταῖς ἀρεταῖς ὑπερέχειν αὐτῶν, ὥσπερ γὰρ ἡ τῆς πατρικῆς περιουσίας αὔξησις ἀνεπίφθονος, οὕτω δὴ καὶ ἡ τῆς ἀρετῆς πρόσκτησις · ἔχεις δὲ οὐκ ἐξ ἀλλοτρίων, ἀλλ' ἐκ τῶν οἰκείων ζῶντα, καὶ μονονουχὶ φωνὴν ἀφιέντα λαβεῖν τὰ παραδείγματα, οἷς χρώμενος, καὶ οἷα δὴ πρωτότυπα, ὥσπερ οἱ ἀγαθοὶ τῶν ζωγράφων, προκεῖσθαι τῇ μεγα-

λοπρεπείᾳ σου ἡγούμενος, ἄριστα ἂν καὶ τὴν ἀρχὴν (ἣν παρὰ τοῦ κρείττονος, οὐ τύχης δῶρον, καὶ ἔξωθεν ὡς οἱ πολλοί, ἀλλ' ἀρετῆς ἔπαθλον, καὶ πατρικὴν κατάσχεσιν διεδέξασθαί πως, οἶμαι πάντας, οὓς φθόνος ἐντετηκὼς κατασχεῖν οὐκ εἴωθεν, καὶ τὰ ἄξια ἐπαίνων κατηγορεῖν, ἴσον ἐμοὶ φᾶσθαι, καὶ μηδένα εἶναι, τὸν ταῦτα οὕτως μὴ ὁμολογεῖν) διοικήσεις, καὶ τὴν ἀληθῆ εὐδαιμονίαν, τῷ ὑπὸ τὴν σὴν μεγαλόνοιαν δήμῳ ἀφθόνως παρέξεις · ὅπως μὲν αὕτη τῷ βίῳ πορίζεται, καὶ τοῖς ἀνθρώποις προσγίνεται, καὶ ἀληθὴς εὐδαίμων καὶ μακάριος ἄνθρωπος λέγεται, διὰ τῆς δεσποίνης φιλοσοφίας πειράσομαι διελθεῖν ἐκ πολλῶν λειμώνων, οἷον ἄνθη συλλεξάμενος, στήλην ἡγεμονικῆς φρονήσεως ἀποχρωματίσαντα · σὲ δὲ ἡγοῦμαι, ὦ θεοσεβέστατε καὶ γαληνότατε ἡγεμών, ὥσπερ τῶν ἄλλων ταῖς τε ἀρχαῖς, καὶ λαμπρότητι γένους, καὶ εὐδαιμονίᾳ ὑπερβάλλεις, περὶ πλείονος ποιεῖσθαι, καὶ ταῖς κατ' ἀρετὴν πράξεσι, διὰ τὸ μόνην τῷ ταύτῃ τεθραμμένῳ συγγηράσκειν καὶ μετὰ θάνατον παραμένειν, καὶ πλούτου μὲν κρείττονα εἶναι, εὐγενείας δὲ χρησιμωτέραν, ὡς δ' ἐν τύπῳ περιλαβεῖν, μόνην τῶν περὶ ἡμᾶς ἀγαθῶν τὸ ἀναφαίρετον · εἰκότως τις τῶν πάλαι ἐπὶ σοφίᾳ κλεϊζομένων, τὴν τῶν ἀνδρῶν δικαιοσύνην, μητέρα τε καὶ τιθηνὴν τῶν ἄλλων προσῆκεν ἀρετῶν ἧς οὐκ ἄνευ, σώφρονα, οὔτε ἀνδρεῖον, ἢ φρόνιμον εἶναί τινα · ἁρμονία γάρ ἐστι καὶ εἰρήνη τῆς ὅλης ψυχῆς μετ' εὐρυθμίας καὶ ἰσότητος, δηλοφανέστερον δὲ γένοιτο τὸ ταύτης κράτος ἐτάζουσιν ἡμῖν τὰς ἄλλας ἕξεις · αἱ μὲν γὰρ τὴν ὠφέλειαν μερικὴν, καὶ πρὸς ἓν ἔχουσιν, ἡ δὲ πρὸς ὅλα συστήματα καὶ ἐν πλήθει · ἐν κόσμῳ μὲν οὖν αὕτη τὴν ὅλην διαστρατηγοῦσά ἐστιν ἀρχὴν, προνοίᾳ τε καὶ ἁρμονίᾳ καὶ δίκῃ, ἐν πόλει δὲ εἰρήνη τε καὶ εὐδαιμονία δικαίως κέκληται, ἐν οἴκῳ δέ ἐστιν ἀνδρὸς μὲν καὶ γυναικὸς πρὸς ἀλλήλους ὁμοφροσύνη, οἰκετῶν δὲ πρὸς δεσπότας εὔνοια, δεσποτῶν δὲ πρὸς θεράποντας κηδεμονία, ἐν σώματι δὲ πρώτη τε καὶ ἅπασιν ἀγαπητοτάτη ζώοις, ἥ τε ὑγίεια καὶ ἀρτιότης, ἐν ψυχῇ δὲ σοφία ἡ ἐκ τῆς ἐπιστήμης τε καὶ δικαιοσύνης γενομένη πᾶσιν ἀνθρώποις · εἰ δὲ αὐτὴ τὸ ὅλον καὶ τὰ μέρη οὕτω παιδαγωγεῖ τε καὶ σώζει ὁμόφρονα

καὶ προσήγορα ἀλλήλοις ἀπεργαζομένη, πῶς οὐ μήτηρ καὶ τιθηνὴ πασῶν, καὶ πάντων παμψηφεὶ λέγοιτο; καί γε εἰκότως, αὕτη γάρ ἐστιν ἡ διείργουσα τάς τε κακίας καὶ τὰς ἀρετὰς ἀπ' ἀλλήλας, καὶ δικαιότης καλουμένη οἷόν τι σύνταγμα τῆς ἁρμογῆς τῶν μερῶν τῆς ψυχῆς, καὶ ἀρετὴ τελεία καὶ ὑπερτάτη, πάντα γὰρ ἐν αὐτῇ, τὰ δ' ἄλλα οὐκ ἄτερθεν αὐτῆς, ὅθεν καὶ παρὰ θεῷ μέγιστον κράτος ἔχει, καὶ ἐν ἀνθρώποις, τοῦ γὰρ ὅλου καὶ τοῦ παντὸς ἥδε συνέχει τὴν κοινωνίαν καὶ σύγκρασιν. Θέμις γ' οὖν παρὰ θεοῦ, δίκη δὲ παρ' ἀνθρώποις φημίζεται, τοιγαροῦν πανυπερτάτην ταύτην ἀρετὴν ἄν τις καλέσειεν οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας · ἡ γὰρ φρόνησις ἐν τῷ θεωρεῖν μετὰ λόγου καὶ κρίνειν ὀρθῶς τὰ πράγματα θεωρεῖται καὶ ἀρετὴ κλείεται · ἡ δὲ σωφροσύνη ἐν τῷ τῶν ἡδέων ἀπέχειν, δικαιότης δὲ ἐν τῷ ἀποσχέσθαι κέρδους ἀνοσίου, καὶ βλάβης τῆς εἰς τὸν πλησίον · καὶ ἡ μὲν κατὰ τὸν ὀρθὸν λόγον αὐτῆς σύνταξις, τοῦ δέοντός ἐστι στοχασμός, ἡ δὲ παρὰ τὸν ὀρθόν, παράβασις · καὶ τὸ μὲν δέον, οὔτε ἀφαιρέσεως, οὔτε προσθέσεως δεῖται, αὐτὸ γάρ ἐστιν ὃ δεῖ εἶναι · τοῦ δὲ μὴ δέοντος, εἴδη δύο · ὑπερβολὴ καὶ ἔλλειψις, ἡ μὲν τὸ πλέον τοῦ δέοντος, ἡ δὲ τὸ ἔλαττον · ἡ δὲ δικαιότης ἕξις τίς ἐστι τοῦ δέοντος, ταύτῃ τοι καὶ ἀκρότης, καὶ μεσότης εὐθέως ἐστίν · ἡ γὰρ μεσότης τυγχάνει γ' οὖσα καὶ ἀκρότης · μεσότης μὲν ἅτε δὴ μέσον ὑπερβολῆς καὶ ἐλλείψεως πίπτουσα, ἀκρότης δὲ, διὰ τὸ μήτε πρόσθεσιν, μήτε ἀφαίρεσιν δέχεσθαι · αὕτη γάρ ἐστιν ἡ δεῖ εἶναι ἡ αὐτή.

Αὕτη τοίνυν ἔστι τῶν τριῶν τοῦ ἀνθρωπίνου βίου καιρῶν ἰσότης, ἐν εὐτυχίᾳ μὲν ῥᾳδίως ἀνέχεσθαι τῶν ἐπισυμβαινόντων αὐτῇ δεινῶν, μηδὲν ἐκλυομένην, ἐπὶ δὲ εὐτυχίας μὴ ἐπαίρεσθαι τοῖς ἀγαθοῖς, μὴ φρονοῦσαν, παρ' ὃ δεῖ φρονεῖν, ἐν δὲ τῇ μέσῃ καταστάσει, ἀκινήτως χρωμένη τοῖς καιροῖς, πᾶσι τοῖς ἰοῦσι μετὰ λόγου ἐπιτίθεται · τὰ δὲ τρία εἴδη τῶν ἀγαθῶν, δι' ὧν εὐδαιμοσύνη τῷ ἀνθρώπῳ πορίζεται, ὀρθῶς οἶδεν ἑκάστῳ ἀπονέμειν · ψυχῇ μὲν τὰ ἐντὸς, φρόνησίν τε καὶ ἀνδρείαν, δικαιοσύνην τε καὶ σωφροσύνην · σώματι δὲ κάλλος, ὑγείαν, εὐεξίαν, καὶ εὐαισθησίαν, πλοῦτον δὲ

καὶ δόξαν, καὶ τιμὴν, καὶ τὴν τῶν προγόνων περιφάνειαν, τῷ ἀνθρώπῳ ἐπιγεννήματα, καὶ ἀκόλουθα φύσει προϋφεστηκόσιν ἀγαθοῖς, καὶ τὰ μὲν μείονα τῶν ἀγαθῶν δορυφορεῖ τὰ μείζω, τὰ δὲ, οἷον στρατηγὸν αὐτῶν ἐπιτίθησι · παρὰ μὲν θεῷ εὐδαιμοσύνη καὶ βίος ἄριστος, παρ' ἀνθρώποις ἐξ ἐπιστήμης καὶ ἀρετῆς παραγίνεται, ἐπιστήμην δὲ καλῶ τὴν τῶν θείων μὲν γνῶσιν σοφίαν, φρόνησιν δὲ τῶν ἀνθρωπίνων καὶ τῶν περὶ τὸν βίον · ταύτην οὖν τὴν φρόνησιν, ἣν θυγατέρα ἔφθη ὁ λόγος εἰπὼν τῆς δικαιοσύνης, ποίησόν μοι πάρεδρον, ᾗπερ ἡ δυὰς ἕψεται τῶν ἀδελφῶν, καὶ ἡ τιθήνη τὴν μείζονα καὶ προσφιλεστάτην τῶν θυγατέρων οὐκ ἂν ἀπολίποιτο · ἐρᾷ γὰρ ταύτης μᾶλλον, διὸ δὴ καὶ σύνεδρον αὐτῇ ἐς ἀεὶ ἔχει, διὰ τὸ τὰς ἑτέρας δι' αὐτῆς ὡς ὑπηρέτιδας διευθύνεσθαι, καὶ δι' ὧν τὴν εὐδαιμοσύνην τοῖς ἀνθρώποις παρέχεται · οὐθὲν γὰρ ἕτερόν ἐστι φρόνησις, εἰ μὴ ἐπιστήμη τῆς περὶ τὸν βίον εὐδαιμοσύνης, ἢ τῶν κατὰ φύσιν ἀνθρώπου ἀγαθῶν · καὶ μὴν δι' αὐτῆς κτᾶσθαι τοὺς ἀνθρώπους, τὴν ἠθικὴν καὶ βελτίστην ἀρετὴν πέφυκε, τοῦ ἀλόγου τῆς ψυχῆς μέρους, καθ' ἣν καὶ ποιεῖ τινὲς τὸ ἦθος εἶναι λεγόμενα (??) ἀγαθοὶ, δίκαιοι, σώφρονες · ἐν τάξει μένοντες ἰδιώτου, καὶ τῷ λογικῷ οἱονεὶ ὑπείκοντες ἄρχοντι · καὶ ἀγαθὸς μὲν ἑλοῦ καλεῖσθαι, οὐ μὴν δὲ εὐδαίμων, καί τοι τὸν εὐδαίμονα καὶ ἀγαθὸν οἶδεν ὁ λόγος καλεῖν · ἐξ ἐπαίνου γὰρ καὶ μακαρισμοῦ εὐδαίμων ἂν εἴη ἀνήρ · ἀγαθὸς δὲ ἐξ ἐπαίνου μόνον, ἀλλ' ἐπ' ἀρετῇ, καὶ οὐκ εἵνεκα εὐτυχίας · ὁ μὲν γὰρ ἐπὶ τοῖς παρ' ἑαυτοῦ ἀγαθοῖς ἀγαθὸς ἀνὴρ γίνεται, ὁ δὲ ἐπὶ τοῖς ἐξωτερικοῖς, καὶ οἷον ὀργανικοῖς καλοῖς, εὐδαίμων δ' ἂν εἰκότως κληθείη, διὸ καὶ ὡς ἀλλότριον ἀγαθὸν ἔστιν ὅτε ἀφαιρεῖται τὴν εὐδαιμονίαν · τῆς μὲν ἀρετῆς ἀνυπεύθυνος ἡ δύναμις, εὐθυνομένη δὲ τῆς εὐδαιμοσύνης · νόσοι γὰρ μακραὶ σώματος, καὶ πηρώσεις αἰσθητηρίων ἀπομαραίνουσι τὴν εὐθάλειαν τῆς εὐδαιμονίας, τὸν δ' ἔπαινον τοῦ ἀγαθοῦ οὐ ὁ πᾶς αἰὼν ἐξαλείψειε.

Τούτου δὲ δεῖται πρὸ πάντων ὁ τῶν πολλῶν τὴν πρόνοιαν εἰληφὼς, καὶ ὃς μείζονος ἐκ θεοῦ ἔμμορε τιμῆς, καὶ ᾧ λαοί τε ἐπιτετράφαται καὶ τόσσα μέμηλε, ὅπως καὶ τοὺς ἄλλους τῆς αὐτῆς

ἔσεσθαι τάξεως παρασκευάσῃ, ἀντεχομένους φρονήσεως καὶ σωφροσύνης, καὶ ἀρκουμένους τοῖς παροῦσι, καὶ μὴ πολλῶν ὀρεγομένους· ὁ γὰρ χρημάτων παντελῶς ἥσθων, οὐκ ἂν ἐσθ' ὅτε δίκαιος, ἃ εἰς μείζω τὴν ψυχὴν παθήματα ἐλαύνουσι, μεστὴν πολλῶν φαύλων φυσιωμάτων οὖσαν, ἀλλ' ἐκνίπτοντας καὶ ἀποκαθαίροντας αὐτὴν, ἀπορρίπτεσθαι πάσαις μηχαναῖς τὰς ἐγκατεσκιρρωμένας αὐτῇ κηλῖδας τῷ κατὰ φιλοσοφίαν λόγῳ, ἀναγκαζομένους μιμεῖσθαι τὸν ἄρχοντα· τοιούτους δὴ καὶ τοὺς ἀρχομένους, φιλεῖ γάρ πως τὸ ὑπήκοον μιμεῖσθαι τὸν ἡγεμόνα, καὶ τῆς τούτου γνώμης βιοῦν, οὕτινοσοῦν τοίνυν τῶν ἀγαθῶν πολλοὶ ἐφευρίσκονται τῶν ἀνθρώπων, τοῦτον δήπουθεν ἐπὶ τὸ τέλειον τῆς αὐτοῦ φύσεως ἑαυτὸν ἄγειν πειρᾶσθαι χρεών, τελειότης γοῦν ἀνθρώπου τὸ μετὰ λόγου πάντα τὰ αὐτοῦ δρᾶν, μετὰ φρονήσεώς τε καὶ τῆς τῶν ἴσων ῥοπῆς, καὶ τῆς ἄκρου τελείου, ὡς ἂν ἐγχωροίη, μιμήσεως· ἕκαστον γὰρ τῶν ὄντων τέλειον καὶ ἄκρον γίνεται, κατὰ τὴν οἰκείαν τῆς ἀρετῆς φύσιν, ὥσπερ γὰρ ἀρετὴ καὶ ἀκρότης ὀφθαλμῶν λέγεται ὀξυδερκία καὶ τελειότης φύσεως, ὤτων εὐηκοΐα, καὶ ποδῶν ποδαρκία καὶ νοὸς εὐφυΐα τε καὶ εὐαισθησία, οὕτως ἀνάγκη ἀρετὴν πᾶσαν, τρία ταῦτ' ἔχειν δι' ὧν ἄνθρωποι εὐδαιμονίζονται, λόγον, δύναμιν καὶ προαίρεσιν, καὶ ταῦτα διὰ τῆς πρώτης τῶν ἀδελφῶν διευθυνούμενα, καὶ τῆς τεκούσης αὐτῶν, οἷον πολυωρούσης τηρούμενα λόγον μὲν, δι' οὗ θεωρεῖ καὶ κρίνει ἀνυπευθύνως τὰ πράγματα· δύναμιν δὲ, ᾧπερ ἀντέχει καὶ κρατεῖ τοῦ τριμεροῦς μέρεος τῆς ψυχῆς, μὴ συγχωροῦντι τὰ ἥσσω τῶν κρειττόνων κατεξανίστασθαι· προαίρεσιν δὲ, ᾗ στέργει μὲν τὰ συντελοῦντα πρὸς τὴν τοῦ ἀνθρώπου τελειότητα, ἀποδοκιμάζει δὲ τἀναντία· τὸ μὲν οὖν κρίνειν καὶ θεωρεῖν μετ' εὐστοχίας τὰ ὄντα, τοῦ διανοητικοῦ ἐστι μέρους τῆς ψυχῆς ἴδιον· τὸ δὲ ἀντέχεσθαι καὶ ἄρχειν ὧν ἃ μὴ δεῖ, τοῦ ἀλόγου, καὶ τοῦτό γ' ἔμπης φρονήσεως ἔστιν ἀπότευγμα· ἐκ διανοίας οὖν καὶ ὀρέξεως συνέστηκεν ἡ προαίρεσις, καὶ ἡ μὲν ἀπὸ τοῦ λογικοῦ, ἡ δ' ἀπὸ τοῦ ἀλόγου μέρεος τῇ ψυχῇ, τὸ δ' ἄλλο τῶν ἀρετῶν πασῶν πλῆθος, ἐκ τῶν τῆς ψυχῆς μερῶν, τὴν γένεσιν καὶ σύστασιν ἔχει,

τὸ κράτος πάντων ἐχούσης τῆς φρονήσεως, ἣν πάρεδρον δεῖ σε ἔχειν καὶ σύνοικον, ὦ κράτιστε καὶ θεοδόξαστε πρίγκιψ, ὁ λόγος προτρέπεται.

Ἐν ἕξει μὲν οὖν ἀρετῆς καὶ τελειότητος ἄνθρωπος γίνεται, ἐκ λόγου καὶ προαιρέσεως, καὶ τῆς ψυχικῆς δυνάμεως· ἕκαστον δέ τοι τοῦτο, μέρος μὲν ἀρετῆς οὔ, αἴτιον δὲ μᾶλλον ἀρετῆς γίνεται· τοὺς μὲν οὖν τὸ νοητικὸν καὶ γνωστικὸν μέρος ἐν ἕξει ἔχοντας, δεινούς τε καὶ συνετοὺς ἀποκλητέον· τοὺς δὲ τὸ ἠθικόν τε καὶ προαιρετικόν, χρησίμους τε καὶ ἐπιεικεῖς· ἀδίκους δέ, τῶν αἰτιῶν ἀναρριπισθεισῶν, καὶ τῶν τριῶν κατεξανισταμένων μέσων, τῶν οἰκείων, δι' ἃ ἀδικεῖν πέφυκεν ἄνθρωπος· φιληδονίας μὲν ἐν ταῖς διὰ τοῦ σώματος ἀπολαύσεσι, σωφροσύνης· πλεονεξίᾳ δὲ ἐν τῷ κερδαίνειν, δικαιότητος· φιλοδοξίας δὲ ἐν τῷ τῶν ἴσων τε καὶ ὁμοίων καθυπερέχειν φρονήσεως, τὰ δεινὰ τοῖς ἀνθρώποις συμβέβηκε, τό τε κακοδαιμονεῖν, καὶ τὸ μὴ καλῶς πράττειν τοὺς ἀνθρώπους, καὶ τοὐναντίον τοῦ ἐπ' ἀρετῇ μακαρισμοῦ· ἔφορον οὖν καὶ οἷόν τινα ἡνίοχον ἐπὶ τούτων διὰ παντὸς ἐπίθες, ὦ εὐσεβέστατε ἡγεμών, τὴν πρεσβυτάτην τῶν ἀδελφῶν, μή τις ἐκείνων παρεισδῦσα λήθην ἐπάξῃ τῶν οἰκείων, ἀντιτάξασα τὰς ἀλλοτρίας, ζηλοτυποῦσα τῇ δεσποίνῃ· ταύταις δὴ ταῖς θεραπαινίσι μὴ παραχωρήσῃς τοῦ ἄρχειν, ἀλλὰ τῶν βασιλικῶν ἀποκλειστέον πυλώνων, ὡς ἀντιζήλους τῶν δεσποινῶν, καὶ στασιαζούσας ταῖς κυρίαις, μὴ βουλομένας εἰς ἓν συναρμοσθῆναι, καὶ μίαν ἐπιδέξασθαι συνδρομήν· τὸ μὲν γὰρ ἄλογον μέρος τῆς ψυχῆς, κατεξανιστάμενον τῆς φρονήσεως, μυρία ἅττα τῷ ἀνθρώπῳ ἐπιφέρει κακά, καὶ οὐ τὴν τυχοῦσαν ἀκρισίαν, τῇ ἐκ τῆς φρονήσεως κριτικῇ τε καὶ θεωρητικῇ ἕξει· τὸ δὲ θυμοειδὲς τῇ ἀντερειστικῇ, καὶ ὑποστατικῇ τῶν δεινῶν ἣν ἀνδρείαν ὁ λόγος δηλοῖ, καὶ ἂν τὸ ἐπιθυμητικὸν τῇ μετριότητι καὶ κατοχῇ τῶν διὰ τοῦ σώματος ἡδονῶν, καὶ ταύτην οὐκ ἀπεικότως σωφροσύνην ἂν εἴπομεν· τῇ δὲ δικαιοσύνῃ οὐκ ἂν ἄλλο τι λωβᾶται, ἀλλ' ἢ τὸ πλεονεκτικὸν καὶ ἀκόρεστον τῆς ἀλόγου ὁρμῆς· ἀδικοῦσι γὰρ πάντες ἄνθρωποι, ἢ διὰ κέρδος, ἢ διὰ ἡδονήν, ἢ διὰ φιλοτιμίαν· τούτων τοίνυν ἀπόσχωμεν ὡς κακοποιῶν,

καὶ τὴν ἀνθρώπου ἀληθινὴν λυμαινουσῶν εὐδαιμονίαν, τῇ φρονήσει ἑπόμενος, ἣ προσέοικε τῇ ἀρχιτεκτονίᾳ τοῦ δημιουργοῦ, τῆς κακίας δὲ τῇ κακοτεχνίᾳ ἐξομοιούσης · ἐκ μηχανῆς γάρ ποθεν ἐξευρισκούσης τὸ ἄδικον, περὶ πολλῶν δὲ ποιούμενος ἐκείνων, ἐξ ὧν τὸ δικαιοπραγεῖν γίνεται, καὶ εὐδαιμονίαν πᾶσαν τῷ κόσμῳ βραβεύεται, καὶ ἔπαινος ἐπὶ ταύταις ἀνθρώπῳ δίδοται, καὶ πόλεις τὴν εὐτυχίαν προσπεριβάλλονται, τῆς δικαιοσύνης θριαμβευούσης, καὶ τοῦ ἡγεμόνος φιλοσοφοῦντος.

Τέλειος οὖν τὸν βίον ὁ ἄνθρωπος λέγεται, ᾗ τῶν ἀλόγων ζώων καθυπερέχει, τῷ ἀρετῆς καὶ εὐδαιμοσύνης ἐπίμοιρος εἶναι, ἀλλ' οὐκ αὐτοτελής · παρὰ θεοῦ γὰρ ἔξωθεν τὰς αἰτίας εἰληχὼς (θεὸς δὲ μόνος ἐξ ἑαυτοῦ τέλειός ἐστι, φύσει εὐδαίμων) διὸ καὶ τῆς ἐκ θεοῦ γινομένης ἐπικουρήσεως προσδεής ἐστι, καὶ ὃς μείζονος μὲν τέτευχε τιμῆς, καὶ ταύτης ἐκ προγόνων, μείζονος δὲ καὶ χαρίσματος, καὶ τοῦ δύνασθαι παραμίλλου τῷ βούλεσθαι, ἀνάγκη τοῦτον μείζονα ἐπιδείξασθαι τῷ δεδωκότι εὐγνωμοσύνην, τῷ ἀρετὴν μὲν ἐπιτηδεῦσαι · κακίαν δὲ προθέλημνον ἀποσπᾶσθαι, θεῷ ὀπαδῆσαι μὴ μόνον ἑαυτὸν οὕτω διατιθέντα, ἀλλὰ καὶ τοὺς αὐτῷ ἐγχειρισθέντας · τῷ τὰ πεπτωκότα ἀνορθώσασθαι, καὶ τὰ κακῶς ἔχοντα διορθοῦν, τῇ βουλῇ χώραν εἶναι, τῷ λέγειν εἰς μέσον ἐξεῖναι, καὶ κολάζειν μὲν ἀδικίαν, μὴ συγχωρεῖν δὲ ὑπὸ δυναστείας τὸ δίκαιον πόρρω που ἀπελαύνεσθαι · οὐχ ὅπως τὸν βίον τέλειος ἄνθρωπος, λύχνον τοῖς ποσὶν αὐτοῦ τὸν τοῦ κυρίου νόμον ποιούμενος, ἀλλὰ καὶ εὐδαίμων ἐστίν · οὗτος δ' ὁ ἀνθρώπινος βίος, σύστημα τῶν πράξεων · ἡ δὲ εὐδαιμονία τὰς πράξεις συμπεραίνουσα, συμπεραίνει δὲ τὰς πράξεις ἀρετή τε καὶ τύχη, ἡ μὲν κατὰ χρῆσιν, κατὰ κατόρθωσιν δ' εὐτυχία · θεὸς οὖν μόνον, οὔτ' ἐπείσακτον ἔχων τὴν ἀρετὴν, οὔτε μαθὼν παρά τινος ἀγαθὸς ἐγένετο, οὔτε ἐπισυναρξάμενος αὐτῷ τῆς τύχης εὐδαίμων · φύσει γὰρ ἦν ἀγαθὸς καὶ φύσει εὐδαίμων, καὶ ἀεὶ ἦν καὶ ἔσται, καὶ οὐδέποτε παύσει τοιοῦτος ὤν, ἄφθαρτος ὤν · ἄνθρωπος δὲ οὔτε φύσει εὐδαίμων, οὔτε φύσει ὢν ἀγαθὸς, μαθήσεως ἄρα καὶ προνοίας προσδέεται · πρὸς μὲν τὸ γενέσθαι ἀγαθὸν, τῆς ἀρετῆς · εὐδαίμονα

δὲ τῆς εὐτυχίας · ὅθεν ἐξ ἐπαίνου καὶ μακαρισμοῦ ἡ ἀνθρωπίνη συγκεφαλαιοῦται εὐδαιμονία · τοῦ μὲν ἐξ ἀρετῆς, μακαρισμοῦ δὲ ἐξ εὐτυχίας · καὶ τὴν μὲν ἀρετὴν διὰ τὴν θείαν ἔχει μοῖραν, τὴν δ' εὐτυχίαν διὰ τὴν θνητήν · ὁ μὲν δὴ τῷ θεῷ ἑπόμενος, εὐδαιμονεῖ, ὁ δὲ τοῖς θνητοῖς κακοδαιμονεῖ · ὅτου γὰρ ἡ φρόνησις ἄρχει, ἀγαθὸν τούτῳ καὶ χρήσιμον εὐτυχία · ἀγαθὸν μὲν διὰ τὸ εἰδέναι χρῆσθαι αὐτῇ · ὠφέλιμον δὲ, διὰ τὸ συνεργὸν ταῖς πράξεσιν · ὥσπερ ὁ κυβερνήτης πρὸς τὰς τῶν ἄστρων κινήσεις διευθύνων τὴν ναῦν, εὐπλοεῖ, οὕτω καὶ εὐτυχία, φρονήσεως πάντ' ἐφορώσης, ὥσπερ οὐρίῳ ἀνέμῳ θέουσα, καὶ πρὸς τὴν ἀρετὴν τὸ ὄμμα τείνουσα, ἁπάσας τὰς πράξεις ποιεῖ.

Τούτων οὖν οὕτως ἐχόντων, οὐ μόνον ἡμᾶς τὴν ἀρετὴν διδακτέον νομίζειν δέον, ἀλλὰ καὶ εὐκτέον, καὶ ὅτι μάλιστα χρηστέον αὐτῇ, τῷ μὲν ἰδιώτῃ εἰς ἀσφάλειαν, ἢ εἰς συναύξησιν τῶν περὶ αὐτὸν · ἄρχοντι δὲ, εἰς ἐπανόρθωσιν οἴκων, εἰς ἐπαύξησιν πόλεων, εἰς τὸ καλῶς τοὺς ὑπ' αὐτῷ διευθύναι, καὶ εἰς μάνδραν εἰσάγειν ὡς ἀγαθὸς ποιμὴν, καὶ εἰς νομὴν ἐξάγειν, ὅτε ἐξείη · οὐ γὰρ μόνον τὴν κτῆσιν δεῖ ἔχειν τῶν καλῶν, ἀλλὰ καὶ τὴν ὄνησιν, καὶ τὸ πολλοῖς ἄλλοις ταύτην μεταδιδόναι, καὶ οἷος ὡς φῶς, ἐκ τοῦ ἁγίου φωτὸς τὰς διαυγείας δεξάμενον, τοῖς δευτέροις τῶν φώτων ἐπιδαψιλεύσασθαι, καὶ δι' αὐτῶν ἅπασιν ὧν ὁ θεὸς ποιμένα καὶ προνομέα καὶ εὐνομέα διέταξεν · ἐν εὐνομίᾳ γὰρ ἅπαντά εἰσι, καὶ ἄνευ ταύτης οὔτε γεννᾶται τὸ μέγιστον τῆς ἀνθρωπίνης φύσεως ἀγαθὸν, οὔτε γεννηθὲν καὶ αὐξηθὲν δύναιτο διαμεῖναι · καὶ γὰρ τὴν ἀρετὴν, καὶ τὴν πρὸς αὐτὴν ῥοπὴν, αὐτὰ ταῦτα δὴ ἀμπέχειν, τῷ καὶ φύσεις ἀγαθὰς γεγενῆσθαι, οἷον ταύτης ἀποκυήματα, καὶ ἤθη δὲ καὶ ἐπιτηδεύματα, καὶ νόμους εἶναι τοὺς ἀρίστους, δι' ὧν καὶ πόλεις, καὶ ἄνθρωποι μακαρίζονται, διευθετούμενοί τε καὶ διοικούμενοι · αἱ μὲν γὰρ ἄλλαι τελειότητες φύσεως ἐν ἑνὶ μόνον ποιοῦσι τὸ αὔταρκες, οἷον ὤτων ὀξυηκοΐα, καὶ ὀμμάτων τὸ ὀξυδερκὲς, καὶ ποδῶν ὠκύτης · εὐδαιμονία δὲ, καὶ μάλιστα ἄρχοντος, καὶ ἀρετὴ ψυχῆς, καὶ ἐν ἑνὶ, καὶ πλείοσι, καὶ τῷ ὅλῳ, καὶ ἐν τῷ παντὶ, τὸ γὰρ ὅλην φύσιν διακο-

σμεῖν, καὶ ἑαυτό, καὶ καθ' ἓν ἕκαστον διακεκόσμηκε · τὸ δὲ καθ' ἓν ἕκαστον διακοσμεῖν, καὶ τὸ ὅλον καὶ τὸ πᾶν ἐκπεπλήρωκε, τὸ ὅλον δὲ ἐκπληροῦν θεῷ μιμεῖται, ὡς ἐφικτὸν αὐτῷ, τῷ πρώτῳ καὶ ἀκροτάτῳ τῶν ἀγαθῶν, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ, καὶ δώρημα τέλειον · τὸν μέλλοντα οὖν εὐδαιμονίσειν, καὶ ὅτῳ μάλιστα ἀρετῆς μέλει, καὶ εὔπλοον ἕξειν τὸν αὐτοῦ βίον, τήν τε αὐτῷ ἐγχειρισθεῖσαν παρὰ τοῦ πρώτου τῶν ἀγαθῶν εὐδαιμονίαν (παρ' οὗ πᾶσα ἐξήρηται ἀρχή τε καὶ ἐξουσία) πρὸς μείζονα αὔξειν τελειότητα, εὐνομίας μελητέον, καὶ ἅμα δὴ καὶ ἀνάγκην αὐτῇ ἐπιφέρει ὁ λόγος τοῖσιν ἔμπροσθεν εἰρημένοις, τῷ μὴ μόνον τῆς θείας μοίρας κοινωνεῖν, ἀλλὰ καὶ καλῶς, κατ' εὐδοκίμησιν τοῦ δεδωκότος · εἰ γὰρ καὶ περσικὸς νόμος οἶδεν ἀπηνῶς δίκας εἰσπράττεσθαι τὸν δυνάμενον μὲν, μὴ βουλόμενον δὲ, ἀνταποδιδόναι τῷ δωρησαμένῳ εὐγνωμοσύνην, ᾗ πού γε ἡγητέον, τὸν καὶ γένους λαμπροῦ τετυχηκότα, καὶ ἀξίας τιμῆς εἰληχότα καὶ πολλῶν μὲν προΐστασθαι ταχθέντα, καὶ τούτων λαμπρῶν καὶ ἐνδόξων, πολλοῖς δὲ καὶ ἄλλοις, καὶ οἷον δευτέροις φώτοις, τὴν λαμπρότητα μεταδοῦναι δυνηθέντα, ἀνάγραπτον τὴν εὐγνωμοσύνην καὶ ἄληστον ἐπιδείξασθαι · οὐδὲν γὰρ οὕτω θεῷ περισπούδαστον, ὡς ἡ πρὸς αὐτὸν εὐγνωμοσύνη, καὶ ἡ πρὸς τὸν πλησίον εὐθύτης · οὔτε γὰρ σώμασιν, οὔτε χρήμασιν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθοσύνῃ καὶ δικαιοσύνῃ.

Ὥσπερ μὲν οὖν νόσοι μακραὶ σώματος καὶ πηρώσεις αἰσθητηρίων ἀπομαραίνουσι τὴν εὐθάλειαν τῆς εὐδαιμοσύνης, τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ τῶν καλῶν μὲν ὀλιγώρησις, τῶν ἐναντίων δ' ἀντείσαξις ἀποθολοῦντα τὴν εὐδαιμονίαν, σβεννύουσι τὸν ἀληθῆ ἔπαινον, ὃς τοῖς ἔμπροσθεν τῷ λόγῳ ἐπ' ἀρετῇ γεννᾶσθαι εἴρηται, προηγουμένης μὲν τῆς δικαιοσύνης, συνεφεπομένων δὲ καὶ τῶν τριῶν αὐτῆς θυγατέρων, τῆς μὲν ἐπὶ τὰ δεξιὰ φρονήσεως, ἐξ ἀριστερῶν δὲ ἀνδρείας τε καὶ σωφροσύνης, καὶ οἷον δᾷδας ταῖς χερσὶ κατεχουσῶν τῇ μητρὶ διαλάμπεσθαι, ἕψεται δ' ἄρα καὶ τὸ σμῆνος τῶν λοιπῶν ἀρετῶν, μὴ παραδεχόμενον τῶν συγγενῶν ἀπολείπεσθαι · εἰ γὰρ εἰς βασιλέως ἐξαγωγὴν ἅπαν τὸ πλῆθος συρρεῖ, καὶ πάντων τὸ

ὄμμα πρὸς αὐτὸν ἀτενὲς παραμένει, ὅπου δ' ἂν εἴη βασιλεύς, ἔνθα καὶ τὸ πλῆθος συνθέον διὰ τάχους δραμεῖται, μηδεὶς τοῦ ἄλλου ὑστερεῖσθαι ἀνέχεται, πῶς μὴ οὐχὶ ταῖς λοιπαῖς τῶν καλῶν τῇ βασιλίδι τῶν ἀρετῶν ἀνεκτὸν ἂν εἴη μὴ παροπαδεῖν, καὶ ἐκτελεῖν μὲν τὰ φίλα αὐτῇ, ἀποσοβεῖν δὲ καὶ πόρρω τῆς βασιλικῆς θέας διϊστᾶναι τοὺς ταύτῃ χαλεπαίνοντας; ἐπεὶ μηθὲν παρ' ἀνθρώποις κακίας ἄμοιρον, ...πολλὰς ἐν τῷ ἡμετέρῳ βίῳ εἶναι τὰς κῆρας · διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, καὶ τὰς ἀρχὰς ἀφ' ὧν πέφυκε τὸ εἶναι αὐτῆς πρόρριζον ἀποσπαστέον · τῆς γὰρ ἀλόγου εἰς τὸ σῶμα ἰούσης, καὶ θυμὸν εὐθὺς καὶ ἐπιθυμίαν ἀποτελούσης, ἡ λογικὴ δύναμις τούτοις ὑφεστηκυῖα τριμερῆ ἀποδείκνυσι τὴν ψυχὴν ἐκ λόγου, θυμοῦ τε καὶ ἐπιθυμίας · ὧν τοῦ μὲν ἀλόγου φρόνησις, θυμοῦ δὲ ἀνδρεία, ἐπιθυμίας δὲ σωφροσύνη, ἁπάσης δὲ ψυχῆς δικαιοσύνη · τὸν μὲν γὰρ λόγον τῶν δεόντων δεῖ κριτὴν ἀποκαθίστασθαι, τὸν θυμὸν λόγῳ ὑπείκοντι τῶν δοκούντων ἡμῖν ἐν δεινοῖς εἶναι ἀνδρείως ὀλιγωρεῖν, τὸ δὲ τῆς ἐπιθυμίας, τὸ δοκοῦν μὲν, μὴ ὂν δὲ διώκειν ἡδύ, ἀλλ' οἷς ἕπεται ὁ λόγος, δι' ὧν ὁ δίκαιος τῷ ἀνθρώπῳ ἐγγίνεται βίος; κατὰ πᾶσαν δὴ οὖν τὴν τῆς ψυχῆς τριμερίαν, τὰς πολιτείας διευθετουμένας τὴν εὐδαιμονίαν περιβεβλῆσθαι εἰκός · τοῦ μὲν γὰρ ἄρχοντος τῷ ὀρθῷ λόγῳ δι' οὗ κατὰ λόγον πάντα πράττεται, καὶ οἷόν τινι ἡνιοχοῦντι παρεικάζοντος, μὴ συγχωροῦντος ἐπὶ θάτερα παρατρέπεσθαι τὸ τῆς ψυχῆς τριμερὲς, ἀλλά γε ἡνιοχεῖν, καὶ καθεῖναι ἐπὶ τὴν ἀκλινῆ, καὶ μηδέτερα τῶν μερῶν ἐπιτετραμμένην ὁδόν · τῶν δὲ στρατιωτῶν ὡς τῷ λόγῳ πειθομένων, καὶ ἀντεξανισταμένων τῶν δεινῶν, τῷ θυμῷ καὶ μὴ συγχωρούντων, πλείους ἑνὸς ἄρχειν, δι' ὧν ἀριστοκρατία, καὶ οὐ μοναρχία συμβέβηκε τῇ ψυχῇ, ἐν ᾗ μοναρχίαν εἶναι ὁ λόγος ἡμῖν βουλεύεται · τῶν δὲ δήμων, ταῖς ἐπιθυμίαις, ἔνθα κατ' ἐπιθυμίαν πολιτεύονται, καὶ τὰ χρηστὰ τῶν ἀχρήστων μᾶλλον προέλονται · διὰ γὰρ τῶν πρώτων ἡ ὀρθὴ πολιτεία, καὶ τὸ περιὸν τῆς εὐδαιμονίας τοῖς ἀνθρώποις ἐγγενέσθαι πέφυκε, καὶ ὁ ἀληθὴς ἄρχων ἡμῖν παρίσταται, ἐξομοιούμενος τῷ θείῳ, συμφωνίαν ἐν τῇ ψυχῇ, καὶ μοναρχίαν, ὡς ἐκεῖνος

ἐπὶ τῶν ὄντων, ποιούμενος · τῶν ἄλλων δὲ, ἡ φαύλη καὶ τὸ κακοδαιμονεῖν διάστασιν ποιούντων καὶ ἀναρχίαν, πολλοῖς ἐνδόντων τὸ ἄρχειν · τῶν μὲν οὖν ὁ λόγος ἀντιλαβέσθαι σε ... δύναμιν βιάζεται, ὡς συντελούντων ἐφ' ἃ δεῖ, τῶν δὲ, ὡς τὸ προτεθὲν ἡμῖν διολλύντων περιφρονεῖν τε, καὶ παρ' οὐδὲν τίθεσθαι · εὐτυχία τοίνυν συνειλημμένη τῇ φρονήσει ποιώῃ ἂν τὴν συναρμογὴν ἅπασιν, οἷς ἂν ἐπιτεθείη, τὸ ὕστερον γὰρ τῇ τε ἀρχῇ καὶ δυνάμει, ἡ εὐτυχία φημὶ, τῷ πρώτῳ τῶν πρωτείων παραχωρητέον · ὧν ἡ μὲν ὡς πρωτεύουσα φύσει, ἡγεῖται, τῆς φύσει ὑστέρου, καὶ ἀρχομένης εὐδαιμονίας · ἡ μὲν κυβερνᾷ καὶ ὁρίζει, ἡ δὲ κυβερνᾶται καὶ ὁρίζεται · λαμβάνουσιν ἔμπης συναρμογὴν ἑκάτερα, φρονήσεως δ' ἄρα καὶ εὐτυχίας συνδραμούσης εἰς ἕν · τῆς μὲν ἐχούσης δ περανεῖ τε καὶ συντάξει, τῆς δὲ, ὑφ' ᾧ περασθήσεταί τε καὶ συνταχθήσεται · δι' αὐτῆς γὰρ καὶ τὸ θεῖον τὸ πᾶν συντηρεῖ, ἔν τε γὰρ τῇ τῶν ὅλων περιοχῇ ἡ συναμφοτέρων τῶν φύσεων συναρμογὴ, καὶ τῆς ἀκινήτου φύσεως, καὶ τῆς ὑπερκοσμίας κόσμος ἐστὶ, δόξαν θεῷ διηγούμενος · ἄλλως τε γὰρ οὐκ ἐνδέχετο, τό τε ὅλον καὶ τὸ πᾶν διαμεῖνον σώζεσθαι, μὴ συναρμογὴν τοῦ κτίσματος πρὸς τὸν κτίστην ἔχοντος · οὕτω δὴ ἔν τε τῷ ἀνθρώπῳ, ἡ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους πρὸς τὸν λόγον ἔχον συναρμογὴ, ἀρετὴν στάσεως γὰρ ἐν ἑκατέροις τοῖς μέρεσι καὶ ἀσυνταξίας παρούσης ἀρετὴν ἀποτελεσθῆναι οὐκ ἐνδέχεται · πῶς γάρ; ὅπου καὶ ἐν πόλει τῶν μὲν ἀρχομένων ποτὶ τοὺς ἄρχοντας ἀποτελεῖ κράτος καὶ σύμπνοιαν · τὸ μὲν γὰρ ἄρχειν οὐ παντὸς, ἀλλὰ τοῦ κρείσσονος, τὸ δὲ ἄρχεσθαι ἴδιον καὶ ῥᾶον τοῦ χείρονος τὸ δὲ ὁμονοεῖν καὶ εἰς ἓν συνέργεσθαι, ἀμφοτέρων κοινόν · ταὐτὸ δὴ τοῦτο, καὶ ἐφ' ὅλῳ, καὶ ἐπὶ οἴκου συναρμογῆς συμβαίνει.... καὶ ἐπὶ τῶν ἄλλων, ὧν ἐν τῷ παντὶ ἔθετο τὸ θεῖον κοινωνιῶν · ἁπάντων γοῦν τούτων ἡ συναρμογὴ, διὰ φρονήσεως ὀφείλει πάντως γίγνεσθαι · αὐτὰ γὰρ ταῦτα ἥδε ἐνεργεῖ, τὰς πράξεις περαίνουσα · διὰ ταῦτά τοι καὶ τῶν ἀρετῶν ἡγεμὼν καὶ συναρμοστὴς ἂν εἴη, πρὸς τὸν λόγον ἐκείνων, καὶ νόμων τῶν ταύτης συνηρμοσμένων τε καὶ συντεταγμένων. Παροξυνθείης δὲ ταύτης ἂν ὀρέγεσθαι, ὡς ἀρετῶν στρα-

τηγέτιδος, καὶ σύνναον ἔχειν καὶ πάρεδρον καὶ θρόνου ἑτοιμασίαν, εἴπερ σοφίας πρὸ πάντων σοι μέλει, καὶ τῆς δι' αὐτῆς μελέτης, ἐφ' ἧς ἡ τῶν καλῶν ἀπογεννᾶται μνήμη, μέγιστον καὶ κάλλιστον εἰς τὸν βίον ἐξεύρημα καὶ εἰς πάντα χρήσιμον · ὥσπερ γὰρ ὄψις πλεονεκτεῖ πασῶν τῶν τοῦ σώματος αἰσθήσεων, τῷ τε ἐκηβολεστάτην καὶ πολυειδεστάτην τῶν ἄλλων εἶναι αἰσθήσεων, καὶ νοῦς ψυχῆς, διὰ τὸ τῷ λόγῳ καὶ διανοίᾳ πᾶν ἐπικραίνειν τὸ δέον, καὶ ἥλιος δὲ ἄστρων · οὕτω δὴ παιδεία ἐν πᾶσι τοῖς ἀνθρωπίνοις διαφέρει καλοῖς · τουτὶ γὰρ τὸ ζῶον ἄνθρωπος μόνος ἁπάντων θεωρῆσαί τε τὰ ὄντα, κατὰ πολλῶν ἱκανώτατος γέγονε, καὶ ἐπιστήμην ἐκ τῶν ἁπάντων λαβεῖν καὶ φρόνησιν · παρ' ὃ ἐνεχάραξε καὶ ἐπεσημήνατο τὸ θεῖον αὐτῷ τὸ τοῦ παντὸς σύστημα · μικρὸν κόσμον τὸν ἄνθρωπον ἐνσκευασάμενος, ἔργον σοφίας καθέστηκε, ἐν τοῖς οὖσι τῶν νοημάτων ὀπτιζόμενον, καὶ θεωροῦντα τὸν λόγον τῆς τοῦ ὅλου φύσεως, καὶ τὴν τῶν ὄντων φρόνησιν ἀφ' ἧς τοῖς ὀργάνοις τῶν ἀγαθῶν (ἃ φίλον Πλάτωνι ἀποκαλεῖν) χρήσεται, ὅτε δεῖ, καὶ ὅσα δεῖ, καὶ ὡς ἑκατέρων μὲν ἀφιστάμενος ἐπίσης τῶν ἄκρων, ὡς ἀπ' ἀλλήλων ἀντιδιϊσταμένων, καὶ οἱονεὶ μαχομένων, ὡς ἀκινήτου δὲ τοῦ μέσου, καὶ ὡσπερεὶ κέντρου λόγον ἐπέχοντος, ἐφαπτόμενος, μηδετιοῦν παρεγκλίνων πρὸς ἑκάτερον, ὑπερβολῇ καὶ ἐλλείψει τοῦ μέσου ἐλλείποντα, ὑπερβολῶν μὲν γὰρ καὶ ἐλλείψεων, κακίας, μέσων δὲ, ἀρεταί, δι' ὧν μὲν εὐδαιμοσύνη τῷ βίῳ ἐπιδαψιλεύεται, καὶ ὁ ἀληθινὸς τῷ ἀνθρώπῳ μακαρισμὸς προσγίνεται, δι' ἐκείνων δὲ πάντα τἀναντία · τούτων μὲν τοίνυν ὅτι μάλιστα πειρῶ ἀφίστασθαι, ὡς τὴν ἀληθῆ ἀμαυρούντων εὐδαιμονίαν, καὶ διάστασιν ἐν τῇ τῆς ψυχῆς ἐμποιούντων μοναρχίᾳ, ἐκείνων δὲ (σὺν θεῷ ὁδηγῷ, συμπροσδεούσης δὲ καὶ τῆς φιλοσοφίας διὰ φρονήσεως) ἀπρὶξ ταῖν χεροῖν κατέχεσθαι.

Ἐπεί περ περὶ πάθη καὶ πράξεις, ὑπερβολὴ καὶ ἔλλειψις, καὶ μέσον, καὶ μᾶλλον καὶ ἧττον, καὶ ἀμφότερα οὐκ εὖ, καὶ ἡ μὲν ὑπερβολὴ ἁμαρτάνεται καὶ ἡ ἔλλειψις ψέγεται, τὸ μέσον δὲ ἐπαινεῖται καὶ κατορθοῦται, καὶ ταῦτα ἄμφω ἀρετῆς διὰ σοφίας ἀπογεννήματα, μεσότης τίς γ' οὖσα τοῦ μέσου στοχαστική · ἀλλὰ παντὶ μὲν

τὸ μέσον κύκλου ὁρατόν, εὑρεῖν δὲ οὐ παντὸς, τοῦ εἰδότος μόνον, ἐπίσης τὰς ἄκρας τοῦ κέντρου ἀπέχεσθαι, καὶ τὸ κέντρον τῶν ἄκρων τὸν αὐτὸν λόγον ἀφίστασθαι, καὶ ἐπὶ τῶν τοιούτων οὕτω δ' ἂν εἴη, ὑπερβολὰς καὶ ἐλλείψεις πάντας εἰδέναι ἐφικτὸν, τὴν μὲν ἐν τῷ ἐλλείπειν, τὴν δὲ ἐν τῷ ὑπερβάλλειν τοῦ δέοντος, τὸ μέσον δὲ εὑρίσκειν καὶ αἱρεῖσθαι οὐ τοῦ παντὸς, μόνου δὲ τῇ παιδείᾳ συνημμένου, καὶ λόγῳ καὶ φόβῳ κυρίου τεθραμμένου, καὶ μηδαμῇ μηδαμῶς ἑαυτὸν ταύτης ἀλλότριον ἀποφαίνοντος · ταῦτ' ἄρα ἀντιληπτέον αὐτῆς, εἴπερ ὑπὲρ τῆς τῶν καλῶν ἐπιδόσεως φροντίζομεν, ἧς πρὸ πάντων μάλιστα δεῖται, ὁ εἰς πολλῶν ἐπιστασίαν ταχθεὶς, ἀνθελκούσης αὐτὸν ἀπὸ τῆς εἰς ἑκάτερον τῶν ἄκρων ῥοπῆς καὶ προϊσταμένης αὐτοῦ, ὥστε μὴ ἀπολιπόντα τοῦ μέσου παρεκτραπῆναι πρὸς ἑκάτερον.

Εὐδαίμων μὲν οὖν καὶ μακαριστὸς ἂν εἴη, ὅτῳ προηγεῖται μὲν πάντα βούλησις, ἕπεται δὲ ἐπὶ πάντων φρόνησις, καίτοι τῶν ἔξω ἄρχουσα ἐκείνη · ὥσπερ αὕτη τῶν ἔνδον, παραχωρεῖ γε μὴν ταύτῃ τῆς ἀρχῆς, οἷόν τινι δεσποίνῃ ὑπείκουσα, τὰ πρακτέα διεργάζεται, παρ' αὐτῆς λαμβάνουσα τὰ τῶν τοιούτων ἀπεικάσματα · ἡ μὲν γὰρ βουλεύεται τὸ πρακτέον, ἡ δὲ τὸ βουλευθὲν διαδικάζουσα εὖ, τὸ δικασθὲν δὲ ἐκείνῃ ἐπιτρέπει, τῷ δὲ ἐπιτρεπομένῳ οἶδε καλῶς χρήσασθαι, εἰσηγητὴν καὶ καθηγεμόνα ἐκείνην συμπαραλαβοῦσα, ὥσπέρ τινα διάκτορα καὶ ἡνίοχον τῶν ἔργων · οὐ γὰρ ἀπόχρη ἡ τῶν ἀγαθῶν ἐπισώρευσις πρὸς εὐδαιμονίαν οὐδὲ τὸ ἄρχειν πολλῶν, ἀλλὰ δεῖ σὺν τούτοις, μᾶλλον δὲ πρὸ τούτων συνεῖναι αὐτῷ τὴν φρόνησιν, δι' ἧς ἂν ἄριστα ἀμφοῖν χρήσατο, τοῖς μὲν ὑπάρχουσιν ἀγαθοῖς ἅπασι καλῶς χρησάμενος, ὅτε δεῖ, καὶ ὅσα, καὶ πρὸς οὓς, καὶ ὧν ἕνεκα, ὧν δὲ ἔλαχεν ἄρχειν σοφῶς προϊστάμενος.

Καλῶς, οἶμαι, παῖδες Ἑλλήνων ταύτην βουλόμενοι δηλῶσαι καὶ τὰς πολυειδεῖς ἐνεργείας αὐτῆς, Ἀθηνᾶν ἀποκαλεῖν ταύτην οὐκ ὤκνησαν, ταῖς ἐνεργείαις τὴν πολυωνυμίαν αὐτῇ προσάπτοντες · ἐκ γὰρ τῆς τοῦ Διὸς κεφαλῆς γεννᾶσθαι λέγοντες, τὸ τῆς ψυχῆς ἡγεμονικὸν ἐντεῦθεν ὑπαινίττουσι καὶ φρονήσεως αἰτίαν οἴδασιν · ἀμήτορα δ' αὖθις τὴν αὐτὴν, τῷ ἀλλοίαν καὶ οὐχ οἵαν τῶν ἐκ τοῦ συν-

δυασμοῦ γενομένων, τὴν τῆς ἀρετῆς εἶναι γέννησιν, καὶ Δία πάλιν φασὶν τὴν μῆτιν καταπιόντα, ταύτην ἀποτεκεῖν ἔνοπλον, ὡς μητιέτην καὶ συνετὸν διὰ τὸ μηδαμόθεν ἄλλοθεν τὴν ἀρετὴν ἢ ἐκ τῆς καθ' ἑαυτὸν σχεῖν βουλῆς τὸ φρονεῖν · καθωπλισμένη δὲ πλάττεται, διὰ τὸ αὐτάρκως πρὸς τὰς μεγίστας τῶν πράξεων καὶ δεινὰς τοῖς ἀνθρώποις δοκούσας ἀντεπεξίστασθαι τὴν φρόνησιν, οὐ μὴν ἀλλὰ καὶ γοργόνος κεφαλὴν κατὰ μέσον τῆς θεᾶς πλάττειν πειρῶνται, τοῦ στήθους ἐξέχοντος, καὶ τῆς γλώττης προβεβληκυίας, οἷον τὸν λόγον ἐν τῇ τῶν ὅλων οἰκονομίᾳ προφανέστατον ὄντα διατυποῦντες · καὶ ἀτρυτώνην τὴν αὐτὴν, καὶ λαόσωον, ὡς τὸ μὲν πάντα πόνον ὑπομένουσαν, καὶ μηδεμίαν θρῦψιν παρά τινος ὑποστάσασαν · τὸ δὲ, ὡς τὸν λαὸν ἐν ταῖς μάχαις ἀποσώζουσαν, καὶ ληϊστίδα ἔτι καὶ ἐρυσίπολιν, καὶ πολιὰν, διὰ τὸ σώτειραν εἶναι χρημάτων τε καὶ λαῶν, καὶ πόλεως, καὶ οἴκου, καὶ βίου παντὸς, τὴν φρόνησιν, καὶ ἔφορον πάντων, καὶ ἐπὶ πᾶσι σκιρτῶσαν · ἀλλ' οὐδ' ἀλαλκομενηΐδα καὶ ἀγεληΐδα προσαγορεύειν, βυθῷ λήθης σφᾶς παραδεδώκασιν · ἱκανὴ γὰρ ἀπαμύνειν, καὶ προσβοηθεῖν, καὶ τοὺς λαοὺς ἄγειν εἰς ἓν συναρμογὴν αὐτοῖς διδοῦσαν · ἄρειον δὲ καὶ ἵππειον, τὸ μὲν διὰ τοῦ δικαίου ὑπερμαχεῖν, καὶ διοικητὴν εἶναι πασῶν τῶν ἀρετῶν · τὸ δὲ διὰ τὸ ὀξύρροπον καὶ τὸ τῶν πράξεων εὐμετάβολον · τούτοις τοίνυν τοῖς ὀνόμασι καὶ ἄλλοις, ὅσους ὁ λόγος ἐπιτροχάδην παρέδραμε, τὴν θεὸν Ἕλληνες κοσμοῦντες, οὐ μικρὸν τὸ παρ' αὐτῆς κέρδος τοῖς ἀνθρώποις ὑπέφηναν, ὡς ἡγεμονικωτέραν τῶν ἄλλων πασῶν ἀρετῶν, ταύτης μὴ ἀμελεῖν ἡμᾶς προτρέποντες · ἢ τίποτε ἄλλο διανοηθέντας Αἰγυπτίους ὑπολάβωμεν, τῶν μυστικῶν καὶ ἀποκεκρυμμένων, καὶ ἀφανῶν νοήσεων, εἰκόνας τινὰς διὰ συμβόλων ἐκφαινεσθαι, τὴν σφίγγα ἐπὶ τῶν προτενισμάτων ἀνθρωπόμορφον θηρίον ἱδρύοντας, ἢ οὐχὶ προτρέποντας, τοὺς ἰσχὺν ἔχοντας, φρονήσεως μάλιστα ἀντιλαβέσθαι, τὴν μὲν ἰσχὺν, θηρίον, τὴν φρόνησιν δὲ ἄνθρωπον παρεικάσαντας; ἰσχὺς γὰρ φρονήσει συγγενομένη, ἄμαχον · καὶ φρόνησις ἰσχύος ἐπιλαβομένη πᾶσιν ὠφέλιμος, ἔμοιγε δοκεῖ · καὶ Ὅμηρος ταύτην βουλόμενος δηλῶσαι ἀπανταχοῦ τοῖς

ἥρωσι τὴν Ἀθηνᾶν ἐξομοιουμένην, διαλέγεσθαι παρεισάγει, ὁτὲ μὲν ἐπὶ τὰ καλὰ αὐτοὺς διεγείρουσαν, ὁτὲ δὲ τῶν κακῶν ἀποτρέπουσαν · οὐχ ἥκιστα δὲ, ἐν οἷς τὸν Ἀχιλλέα, τῷ βασιλεῖ χολωθέντα, καὶ ἀναρίξαι (?) μερμυρίζοντα, πεμφθεῖσαν φησὶ τὴν Ἀθηνᾶν παρ' Ἥρας, τῆς βασιλικῆς φημι προνοίας, παῦσαι αὐτὸν τῷ βασιλεῖ παροινούμενον, καὶ ἔκθαμβον γενέσθαι, αὐτὴν ἰδόντα θάμβησε δ' Ἀχιλλεὺς, αὐτίκα δ' ἔγνω Παλλάδ' Ἀθηναίην, καὶ τοῦ θυμοῦ ἀλλοιούμενον, τῇ Ἀθηνᾷ προσειπεῖν, ταύτῃ πειθόμενον, ὡς ἄμεινον πείθεσθαι πλέον, ἢ τῷ θυμῷ διδόσθαι · ὃς γὰρ ταύτῃ ἕπεται, καὶ θεῷ αὐτῷ εὐήλατος γένοιτο ὅς κε θεοῖς ἐπιπείθηται μάλα τ' ἔκλυον αὐτοῦ · τῷ γὰρ μετ' ὀργῆς βουλευομένῳ, καὶ φρονήσεως ἄτερ πράττοντι, οὐδὲν ἂν εἴη ἀσφαλῶς διανύσασθαι, πάντα μιγνύοντι, καὶ ταράττοντι τὰ πράγματα καὶ μηδὲν ὑποστειλάμενον εἰπεῖν, ἐξ οὗ κακοδαιμονίας καὶ ἀδικίας (εἰ καὶ δυνάμενος εἴη) τῷ βίῳ εἰσέφρυσαν.

Πάσας μὲν οὖν τὰς ἀρετὰς τὸν ἡγεμόνα περιβεβλῆσθαι καὶ ἐν αὐτῷ ἀποθέσθαι εἰκὸς, τῇ ἡγεμονικωτέρᾳ ἁπασῶν φρονήσει μὴ ἀπαξιοῦσθαι, τῶν πρωτείων παραχωρεῖν, καὶ ταύτην σύνοικον, καὶ θρόνου ἔχειν προεδρείαν, καὶ χώραν ἐν ἅπασι, καὶ πρὸς πάντας, καὶ ἐν παντὶ χρόνῳ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς καὶ μὴ εὐκταίοις · ἐπὶ πάντων γὰρ, καὶ ἐν δυνάμει ὄντως, καὶ ἀσθενείᾳ, καὶ δόξῃ καὶ ἀδοξίᾳ, καὶ ἐν πενίᾳ καὶ πλούτῳ, ὅλως δ' εἰπεῖν, ἐν ἁπάσαις πλεονεξίαις καὶ μειονεξίαις, φρονήσεως πρὸ πάντων χρῄζομεν, ὥστε τῷ βίῳ μὴ λάθωμεν ἁμαρτάνοντες · μάλιστα δὲ οἱ τὰς τύχας λαμπροὶ, τῆς ἐν τῇ γνώμῃ κακίας πρόσοδον εὑρισκούσης εἰς ἐνέργειαν · τὰ γὰρ ἔξω τῶν ἀγαθῶν, ταῖς κακίαις μᾶλλον ἢ ἀγαθοεργίαις ὑποπίπτουσι, μέσα πως ὄντα τῶν ἀγαθῶν, καὶ κακῶν, ταῖς τῶν χρωμένων ἔξεστι μεταβάλλοντας · νῦν μὲν ἐπὶ τὸ χεῖρον, νῦν δὲ ἐπὶ τὸ κρεῖττον, ὡς ἂν τῇ τοῦ κεκτημένου ἕξει ἐπιτεθεῖεν ῥέουσι, ταῖς βουλήσεσιν αὐτοῦ, οἷά τινα μέσα ὑπουργοῦσι · διό περ εὐκταῖον ἂν εἴη τῷ μὲν κακῶς πρὸς ταῦτα διακειμένῳ, καὶ τὴν βούλησιν μὴ τῇ φρονήσει ἔχοντι παροπαδοῦσαν, ἀπεῖναι τῶν μέσων, ὥστε τὴν ἐν αὐτῷ κακίαν ἀπρακτεῖν ·

τῷ δ' ἄλλως πως διατεθειμένῳ, καὶ καλῶς εὖ εἰδότι κεχρῆσθαι, οὐχ ὅτι εὐχῆς ἂν εἴη ἄξιον, ἀλλὰ καὶ πᾶσιν ὀνήσιμον, ἐν πολλοῖς διεκχέοντι τὴν τῆς ἀρετῆς δύναμιν, ἀφθόνως τε τ' ἀγαθὰ ἐπιδαψιλεύοντι, ὥστε μηδένα τῶν παρ' αὐτοῦ εἶναι μὴ ἀπολελαυκότα τῶν ἀγαθῶν. Οὕτω μοι τοιγαροῦν, οἷς ἔχεις χρώμενος ἀγαθοῖς, τῷ μεταδοῦναι πᾶσιν τῶν σαυτοῦ καλῶν μετασχεῖν, θεὸν ἕξεις συνήγορον, καὶ συνεργοῦντα πρὸς πάντα, οὗ τὸν τύπον φέρεις ἐν σεαυτῷ, καὶ τῆς προνοίας ἀξίως ἀπήλαυσας, ὃς τὰ τῇδε ἐθέλει προνοεῖσθαι, κατὰ τὴν ἐν τοῖς νοητοῖς, ὡς αὐτὸς ἑαυτὸν τάξας ἀρχέτυπον, μίμησιν.

Τῆς ὑμετέρας θεοσεβεστάτης γαληνότητος ὑποκλινὴς καὶ εὐτελὴς δοῦλος,

Ἰωσὴφ ἱερομόναχος Βατοπαιδινός, διδάσκαλος τῆς ἐν Γιασίῳ σχολῆς.

DOCUMENTS

CONCERNANT LA FAMILLE

MAUROCORDATO

Γράμμα σιγιλλιῶδες κατὰ τὴν μητρόπολιν Παροναξίας διὰ τὸ ἐκεῖ σταυροπηγιακὸν μοναστήριον τοῦ Φωτοδότου.

Τὰ κατὰ διαφόρους καιροὺς καὶ τρόπους καλῶς καὶ θεοφιλῶς τοῖς θεοσεβέσι πραττόμενα, οὐ μόνον ἐπαινετὰ τυγχάνει τοῖς ἐν ἀληθείᾳ τὰ πράγματα κρίνειν ἐπισταμένοις, ἅτε καθηγεμόνα θεὸν ἐσχηκότα, ἀλλὰ καὶ περισπούδαστα πάντως ἅπασι κρίνεται τοῖς τῶν καλῶν ἐρασταῖς, ἀποδοχῆς τε ἁπάσης καὶ κηδεμονίας ἀναντιρρήτως ὑπάρχουσιν ἄξια, πρὸς ἀδιάπτωτον διαμονὴν αὐτῶν καὶ συντήρησιν· τούτῳ γὰρ τῷ τρόπῳ καὶ αὔξεσθαι πέφυκε τὰ καλὰ, καὶ τὰ χρηστὰ προκόπτειν, τὰ εὔλογά τε κρατύνεσθαι, καὶ εἰς διανομὴν προχωρεῖν. Ἔνθεν τοι καὶ ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, οἷα κοινὴ μήτηρ τῶν φιλευσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τὰ πανταχόθεν αὐτῇ προσενεγκόμενα καὶ δέχεται ἀεὶ φιλοστόργως, καὶ ὅλαις προθέσεσιν ἐπιβεβαιοῖ τε καὶ συνιστᾷ, ὅσα δηλαδὴ ἐκ προαιρέσεως ἀγαθῆς καὶ φιλοθέου εὐλαβείας προερχόμενα δεῖται τῆς παρ' αὐτῆς ἀντιλήψεως καὶ συστάσεως, ἐξαιρέτως δὲ τῶν περὶ τὰ ἱερὰ τοῦ θεοῦ καταγώγια καὶ σεβάσμια σκηνώματα ἐνθέῳ ζήλῳ καὶ πόθῳ φιλεργουμένων τοῖς εὐσεβέσιν, εἰς δόξαν μὲν θεοῦ καὶ ὑμνολογίαν ἀένναον,

εἰς μνημόσυνον δὲ ἀκατάπαυστον τῶν κτητόρων αὐτοῦ καὶ πάντων τῶν ὀρθοδόξων χριστιανῶν, ναὶ μὴν καὶ εἰς τιμὴν τῶν θεραπόντων αὐτοῦ καὶ συνετῶν καὶ φρονίμων οἰκονόμων, καὶ μνημόσυνον ἀκατάπαυστον τῶν ὀρθοδόξων, ἐν οἷς ὁ αὐτὸς ἐυαρεστεῖται θεὸς ἀδιακόποις ἐπιμελείαις φροντίζειν οὐκ ἀπαναίνεται, τά τε πρὸς σύστασιν τούτων ἐπινοούμενα προνοίᾳ τῇ προσηκούσῃ περιέπειν καὶ κρατύνειν οὐ παύεται · πάντα μὲν γὰρ τὰ καλὰ ἐπαινετὰ καὶ σεβάσμια καὶ σωτηριώδη, ὡς συντελοῦντα πρὸς τὴν τρισόλβιον καὶ μακαρίαν ἀπόλαυσιν τῆς οὐρανῶν βασιλείας · πολλῷ δὲ μᾶλλον τῶν ἄλλων καλῶν σεβασμιώτερον καὶ ὑπερτέρων βραβείων ἐπάξιον πέφυκεν ἡ περιποίησις, καὶ συνδρομὴ, καὶ βοήθεια, καὶ περίθαλψις τῶν ἱερῶν καὶ σεβασμίων μοναστηρίων καὶ θείων καταγωγίων, ἐν οἷς ὁ θεὸς ἐπαναπαύεται διηνεκῶς καὶ ἀκαταπαύστως ὑμνολογούμενός τε καὶ δοξαζόμενος ταῖς ὁσημέραι τελουμέναις ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις ὑπὸ τῶν ἐνοικούντων αὐτοῖς ἐναρέτων ἀνδρῶν, τῶν ἀποταξαμένων ταῖς βιωτικαῖς μερίμναις, καὶ θεῷ μόνῳ προσανέχειν αἱρετισαμένων. Διὸ δὴ καὶ πάντες οἱ εὐσεβεῖς καὶ φιλόθεοι οὐκ ἀφίστανται περὶ πολλοῦ ποιεῖσθαι καὶ διαφερόντως ἀγαπᾶν τὰ ἱερὰ τοῦ θεοῦ σκηνώματα συντρέχειν τε καὶ βοηθεῖν αὐτοῖς, πολὺν ἄνωθεν ἀντιλαμβάνοντες τὸν μισθὸν ἐκ τοῦ πατρὸς τῶν φώτων, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ὅπως ἀνεξάλειπτα καὶ ἀπαρακίνδυνα διαμένωσι. Τὰ γὰρ τῆς προσηκούσης ἀμοιροῦντα προνοίας, χρόνοις εὐαριθμήτοις ἐξίτηλα πέφυκε γίνεσθαι, καὶ ταχὺ πάμπαν εἰς ἀνυπαρχίαν χωρεῖν. Διὸ δὴ ἐπαινετὴ μὲν ἡ τὴν σύστασιν τούτων καὶ τὴν προκάταρξιν ἐνεργοῦσα προαίρεσις, οἵα φίλη θεῷ, ἐπαίνου δὲ μᾶλλον τεύξεται ἡ πρὸς διαμονὴν χρονίζουσαν καὶ δίαρκειαν παραμένουσαν οἰκονομοῦσα ταῦτα σοφὴ πρόνοια · τούτου δὲ μάλιστα εὐμοιρήσειε ταῦτα, εἰ καὶ παρὰ τῆς πατριαρχικῆς μεγαλειότητος τὴν βεβαίωσιν λάβῃ κρατίστην οὖσαν καὶ δραστικωτέραν ὡς ἐν ἀκροτάτῃ περιωπῇ κειμένην ἀναφανδόν.

Ἐπειδὴ τοιγαροῦν κατὰ τὴν ἁγιωτάτην μητρόπολιν Παροναξίας εὑρίσκεται ἱερὸν καὶ σεβάσμιον μοναστήριον ἐπ' ὀνόματι τοῦ σωτῆρος

ἡμῶν Χριστοῦ σεμνυνόμενον, τοῦ Φωτοδότου ἐπικεκλημένον, ὅπερ ἀνέκαθεν πατριαρχικὸν σταυροπηγιακὸν ὑπάρχον, καὶ ἐξαρχικῶς κατὰ καιροὺς φιλοτιμούμενον ὑπὸ τῆς ἐκκλησίας τοῖς ἀμφιπονοῦσιν αὐτὴν, ἐφιλοτιμήθη τέως καὶ τῷ ἐκλαμπροτάτῳ, εὐσεβεστάτῳ καὶ σοφωτάτῳ αὐθέντῃ ἐξ ἀπορρήτων τῆς κραταιᾶς βασιλείας, τῷ καὶ πρώην μεγάλῳ λογοθέτῃ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κυρίῳ κυρίῳ Ἀλεξάνδρῳ, υἱῷ κατὰ πνεῦμα ἀγαπητῷ καὶ περιποθήτῳ τῆς ἡμῶν μετριότητος, ἅτε συντρέχοντι καὶ βοηθοῦντι λόγῳ καὶ ἔργῳ ταῖς ἐκκλησιαστικαῖς ἀνάγκαις καὶ χρείαις, καὶ μηδέποτε διαλείποντι ὑπερασπίζεσθαι μεθ' ὅσης προθυμίας δι' ἔμφυτον καὶ ἐμφιλόσοφον αὐτοῦ καλοκαγαθίαν καὶ πόθον ἔνθεον τῆς πνευματικῆς αὐτοῦ μητρὸς Μεγάλης Ἐκκλησίας, ἄλλως τε χρησίμῳ τε πάνυ, καλῷ τε κἀγαθῷ καὶ περιφανεῖ τυγχάνοντι, καὶ ὑπερμαχεῖν ἀδιαλείπτως τῆς ἐκκλησιαστικῆς εὐταξίας τε καὶ συστάσεως, καθ' ἣν ἠξιώθη, συνάρσει θεοῦ, παρρησίαν ἔχειν καὶ εὔκλειαν ἐν τῇ βασιλικῇ ἐξουσίᾳ καὶ αὐτοκρατορίᾳ· καὶ οὕτω διετέλει τὸ αὐτὸ ἱερὸν μοναστήριον ὑπὸ τὴν ἐξουσίαν καὶ δεσποτείαν τῆς αὐτοῦ ἐκλαμπρότητος, ἐπιστατοῦντος τοῦ αὐτοῦ τούτου ἱεροῦ μοναστηρίου δι' ἐπιτρόπων αὐτοῦ, καὶ παραλαμβάνοντος [τὸ] κατ' ἔτος διατεταγμένον ἐτήσιον γρόσια ὀγδοήκοντα· ἦν γὰρ πρότερον τὸ αὐτὸ μοναστήριον ἐν εὐημερίᾳ καὶ εὐπορίᾳ κτημάτων καὶ ἀφιερωμάτων ἱκανῶν εὐθυνούμενον, ὕστερον δὲ τῇ παρατάσει τοῦ χρόνου, καὶ ταῖς τοῦ καιροῦ περιστάσεσιν, ἐξ ὧν εἴωθε πολλὰ καὶ τῶν ἐχόντων εὐπόρως δυσχερείαις περιπίπτειν καὶ καταστρέφεσθαι εἰς δυστυχίαν κατήντησεν, ἀφαιρεθὲν τῶν πολλῶν αὐτοῦ κτημάτων, ὧν ηὐπόρει, καταλειφθέντων μόνον ἀκινήτων τινῶν αὐτοῦ ὑποστατικῶν, οὗ ἕνεκα καὶ τὸ ἐτήσιον αὐτοῦ κατεβιβάσθη εἰς πεντήκοντα γρόσια, ἀλλ' ἐκινδύνευε καὶ αὖθις εἰς ἐρημίαν ἐλθεῖν καὶ ἀφανισθῆναι, ἀρξαμένων ἀναχωρεῖν καὶ διασκορπίζεσθαι τῶν ἐν αὐτῷ συνασκουμένων πατέρων· ὅπερ βλέπουσα ἡ αὐτοῦ ἐκλαμπρότης καὶ περιαλγήσασα, ὡς εἰκὸς, οὐκ ἤνεγκε παριδεῖν ἐκεῖνο ἀπρονόητον, ἀλλὰ σπουδὴν ἐμμελῆ καὶ σύντονον μέριμναν ἔθετο ἐπὶ τῷ συστῆσαι αὐτὸ, καὶ εἰς τὴν προτέραν κατάστασιν ἀγαγεῖν ἔσπευδεν

ὡς προμηθεὺς καὶ καλὸς οἰκονόμος, εὐλαβής τε περὶ τὰ θεῖα καὶ τῆς κατὰ θεὸν προθυμίας ἐχόμενος.

Καὶ δὴ καταλαβὼν τὸν ὁσιώτατον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κὺρ Καλλίνικον, τὸν καὶ προηγούμενον τοῦ αὐτοῦ μοναστηρίου, εὐλαβητικῶς πρὸς τὸ αὐτὸ ἱερὸν μοναστήριον διακείμενον, καὶ προθυμίαν ἔχοντα εἰς τὴν τούτου σύστασιν, ὑποσχόμενόν τε ἐπιμελῶς καὶ συμφερόντως διοικῆσαι αὐτὸ ἐπὶ συναγωγῇ πατέρων ἀρκετῶν εἰς τὴν αὐτοῦ καλλιέργειαν, καὶ συντήρησιν, καὶ διαμονὴν, καὶ ἄξιον εἰς τὴν τούτου κυβέρνησιν, ἐφάνη γὰρ καὶ πρότερον δεξιῶς ἔχων περὶ τὴν κυβέρνησιν τοῦ αὐτοῦ μοναστηρίου, παρεχώρησεν αὐτῷ τὴν ἡγουμενικὴν προστασίαν τοῦ αὐτοῦ μοναστηρίου ἐφ' ὅρῳ ζωῆς αὐτοῦ, ἐλαττώσας καὶ καταβιβάσας τὸ ἐτήσιον αὐτοῦ ἐν ὀλιγίστῃ ποσότητι δόσεως, ἤτοι εἰς τεσσαράκοντα ὀκάδας μέλιτος, καὶ τοῦτο χάριν ὑποταγῆς, κατὰ τὸ ἔθος τῶν σταυροπηγίων · ὃν δὴ καὶ προσενεγκὼν ἡμῖν ὁ πρὸς τὰ καλὰ καὶ θεάρεστα πόθον ἔχων ἐκλαμπρότατος αὐθέντης ἐξ ἀπορρήτων, ἠξίωσε τὴν ἡμῶν μετριότητα ἐπικρατυνθῆναι αὐτῷ καὶ διὰ γραμμάτων τῆς ἐκκλησίας τὴν ἐπιστασίαν τῆς ἡγουμενείας ἀμεταποίητον δι' ὠφέλειαν τοῦ μοναστηρίου, ναὶ μὴν καὶ τὴν σταυροπηγιακὴν φιλοτιμίαν καὶ ἐλευθερίαν τοῦ μοναστηρίου, ὡς ἐπ' ἀγαθῷ σκοπῷ προβαλλομένην, καὶ πρὸς σύστασιν καὶ στερέωσιν τοῦ ἱεροῦ αὐτοῦ μοναστηρίου ἀφορῶσαν. Τούτου χάριν, ὡς τῶν ἀπανταχοῦ ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, καὶ τῶν τοῦ θεοῦ σεπτῶν σκηνωμάτων καὶ σεβασμίων μονῶν τὴν ἐπιστήριξιν καὶ κραταίωσιν διὰ μεγάλης ἐφέσεως κεκτημένοι, καὶ τῶν ἁπάντων ἀγαθῶν ἐπίπροσθεν ἄγοντες, τὴν ἀξίωσιν τῆς αὐτοῦ ἐκλαμπρότητος προσηνῶς ἀποδεξάμεθα.

Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ διαληφθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον, τὸ κατὰ τὴν ἁγιωτάτην μητρόπολιν Παροναξίας κείμενον, τὸ ἐπ' ὀνόματι τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τιμώμενον, τοῦ Φωτοδότου ἐπικεκλημένον, μετὰ πάντων τῶν προσόντων

αὐτοῦ κτημάτων εἴη, καὶ λέγηται, καὶ παρὰ πάντων γινώσκηται μέχρι τῆς τοῦ κόσμου συντελείας πατριαρχικὸν σταυροπηγιακὸν, μόνῳ τῷ πατριαρχικῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ὑποκείμενον, μνημονευομένου ἐν αὐτῷ τοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς, καὶ πάντῃ ἐλεύθερον, ἀδούλωτόν τε καὶ ἀσύδοτον, καὶ ἀκαταπάτητον, καὶ ἀνενόχλητον παρὰ παντὸς προσώπου ἱερωμένου καὶ λαϊκοῦ, καὶ παρ' αὐτοῦ τοῦ κατὰ τόπον ἀρχιερέως, μηδενὶ μηδὲν ὀφεῖλον παρέχειν, εἰ μὴ μόνον τὸ διορισθὲν ἐτήσιον, τουτέστι τεσσαράκοντα ὀκάδας ἐλαίου, καὶ τεσσαράκοντα ὀκάδας μέλιτος κατ' ἔτος πρὸς τὴν ἐκκλησίαν, τὴν τούτου διοίκησιν, ἐπίσκεψίν τε καὶ καλλιέργειαν ἔχῃ ὁ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κὺρ Καλλίνικος, ὤν τε καὶ γνωριζόμενος παρὰ πάντων ἡγούμενος τοῦ αὐτοῦ μοναστηρίου ἐφ' ὅρῳ ζωῆς αὐτοῦ, μετ' εὐλαβείας ὀφείλει φροντίζειν τῆς αὐτοῦ βελτιώσεως καὶ αὐξήσεως, ὅστις καὶ ἔχει ἄδειαν συνάξαι πατέρας εἰς τὴν τοῦ μοναστηρίου τούτου διοίκησιν καὶ κυβέρνησιν, ἐλεύθερος ὢν καὶ ἀσύδοτος, εἰρηνικῶς καὶ ἀταράχως διάγων καὶ φυλάττων τὰ ὅρια τῆς μοναδικῆς πολιτείας ἀπαρασάλευτα. Ἡνίκα δ' ἂν γένηται χρεία χειροτονίας ἐν τῷ αὐτῷ σταυροπηγιακῷ μοναστηρίῳ, ἔχῃ ἄδειαν ὁ αὐτὸς καθηγούμενος προσκαλεῖν ὃν ἂν ἐθέλῃ ἀρχιερέα τοῦ ποιεῖν ἐν αὐτῷ τὴν χειροτονίαν, κατὰ τὴν τάξιν τῆς ἀρχιερωσύνης, χωρὶς μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως· καὶ μηδεὶς ποτὲ τῶν ἁπάντων, ἄρχων ἢ ἀρχόμενος, μήτε ὁ κατὰ τόπον μητροπολίτης Παροναξίας κατ' οὐδένα τρόπον, καὶ κατ' οὐδεμίαν πρόφασιν, οὔτε ἄλλος τις τῶν ἱερωμένων ἢ λαϊκῶν ἔχῃ ἄδειαν καταπατεῖν καὶ κατεπεμβαίνειν τοῦ αὐτοῦ μοναστηρίου, καὶ ζητεῖν λαβεῖν ἐξ αὐτοῦ μήτε πολὺ, μήτε ὀλίγον τὸ σύνολον, μήτε καταδουλοῖν αὐτὸ διανοηθῇ, καὶ καταδυναστεύειν τὸν ἡγούμενον καὶ τοὺς συνασκουμένους αὐτῷ πατέρας ἐν τῷ εἰσπράττεσθαι συδοσίαν τινὰ δι' αἰσχροκέρδειαν καὶ πλεονεξίαν, ἀλλ' ὑπάρχωσιν ἐλεύθεροι ὅ τε ἡγούμενος καὶ οἱ σὺν αὐτῷ πατέρες πάσης καὶ παντοίας δόσεως μετὰ ἀνέσεως καὶ ἡσυχίας, χωρίς τινος βάρους καὶ δυναστείας, φροντίζοντες τῆς ψυχικῆς αὐτῶν σωτηρίας, καὶ τῆς συστάσεως καὶ

καλλιεργείας καὶ αὐξήσεως τοῦ ἱεροῦ μοναστηρίου. Ὅς δ' ἂν ὀψέποτε φανῇ κακοβούλως κινηθεὶς κατὰ τοῦ σταυροπηγιακοῦ αὐτοῦ μοναστηρίου, καὶ ἀντιφερόμενος τοῖς ἐν τῷ παρόντι γεγραμμένοις καταλύειν ἐπιχειρήσῃ τὴν ἐλευθερίαν τοῦ αὐτοῦ μοναστηρίου ἢ τοῦ ἡγουμένου καὶ τῶν ἐν αὐτῷ συνασκουμένων δόσιν τινὰ, ἢ ζημίαν τινὰ προξενῆσαι αὐτοῖς, καὶ ἀποσπάσαι καὶ ἀφαιρέσαι τι τῶν κτημάτων καὶ δικαίων αὐτοῦ, ὁποίας ἂν εἴη τάξεως καὶ ὁποίου βαθμοῦ, ἀφωρισμένος εἴη, κτλ.

Ὅθεν εἰς ἔνδειξιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα καὶ ἐπεδόθη τῷ διαληφθέντι καθηγουμένῳ κὺρ Καλλινίκῳ.

∴

Παρθένιος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Τὸ οἰκεῖον ἑκάστου τῇ φύσει κράτιστον καὶ ἥδιστόν ἐσθ' ἑκάστῳ· καὶ τῷ ἀνθρώπῳ δὲ ὁ κατὰ τὸν νοῦν βίος, εἴπερ μάλιστα τοῦτο ἄνθρωπος, καὶ τὸ κατ' εἰκόνα θεοῦ, ὡς ὁ λόγος παρὰ τοῦτο ἐκληρώσατο. Κράτιστον ἂν εἴποι μὲν τῇ πολιτείᾳ, καὶ κοινῶς ἥδιστον τὸ τὸν νόμον δεσπόζειν, καὶ δι' αὐτοῦ τὰ περὶ αὐτὴν ἅπαντα τελεῖσθαι, ὡς οἰκεῖον καὶ προσφυὲς καὶ ὡς λόγον προερχόμενον ἀπό τινος φρονήσεως καὶ νοῦ, καὶ τάττειν ἐπιεικῶς καὶ καθιστᾶν μετ' ἐπιστήμης, τοῦ τε καλοῦ, καὶ τοῦ ἴσου ὅπως ἂν δέοι γίγνεσθαι, ὃς καὶ δύναμιν ἀναγκαστικὴν ἔχει, ἅτε κοινὸν τῆς πόλεως ὁρίζεται ὁμολόγημα, καὶ συνθήκη τῶν ἀρίστων διωρισμένος. Μακρὰν δέ ποτε καὶ τὴν κατὰ τόπον συνήθειαν προσλαβόμενος (δοκιμασθεῖσαν δή που τῷ μακρῷ χρόνῳ) ἰσχὺν μείζονα, καὶ τὴν ἀσφάλειαν κέκτηται, καὶ τὸ ὅλον σταθερόν τε καὶ ἀμετάπτωτον ἀπεργάζεται. Καὶ ὡς τὸ σῶμα ὑπὸ τῆς ψυχῆς περιεχόμενον ζωογονεῖται κινούμενον καὶ συντηρούμενον,

οὕτω πως δοκεῖ καὶ πᾶν ἔθνος, καὶ πᾶσα πολιτεία παρά τε τοῦ νόμου καὶ τῆς ἀναλογούσης αὐτῷ μακρᾶς συνηθείας διευθετεῖσθαι καὶ διαρρυθμίζεσθαι. Δι' αὐτῶν γὰρ καὶ κτήσεις καὶ ἐνέργειαι καὶ χρήσεις εἰς εὐνομίαν ἄγονται, τῶν ἐν τοῖς νόμοις ὄντων, καὶ ἡδέως ὀρθοτομοῦνται.

Τοίνυν καὶ ἀνηνέχθη ἡμῖν συνοδικῶς προκαθημένοις, συνεδραζόντων καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ γράμματα προεκομίσθη ἀριδήλως παριστάνοντα ὅτι κατὰ τὴν νῆσον Χῖον κτητορικῶν διοικήσεων, ἑκάστου τῶν ἐκκλησιῶν ὑπαρχουσῶν, ὡμολόγηται παρὰ τῆς πάλαι καὶ νῦν ἀξιολόγου πολιτείας, τῶν ἐπιτρόπων καὶ δεπουτάδων, διοικητῶν δηλαδὴ τοῦ κοινοῦ, καὶ πολλῶν προκρίτων, καὶ αὐτοῦ τοῦ κατὰ τόπον κοινοῦ λαοῦ, καὶ ἀπεφάνθη βουλῇ κοινῇ, καὶ γνωμοδοσίᾳ πανδήμῳ, τὰς κτητορικὰς αὐτὰς διοικήσεις, κατὰ τὴν ἐπικρατήσασαν αὐτοῖς ἐκ προγόνων πρόπαλαι συνήθειαν, κατάγεσθαι ἐπὶ πάντας τοὺς πρωτεύοντας, καὶ δι' αὐτῶν γίγνεσθαι τὰς ἁρμοζούσας αὐτοῖς ἐπισκέψεις κτητορικάς. Καὶ ἦν ἄρα ἐμφιλοχωροῦσα ἡ τοιαύτη παλαιὰ καὶ καλὴ συνήθεια, ἐρρωμενέστερον ἄρα καὶ ἐπικρατέστερον ἐπιβραβεύουσα ἐπὶ πάντας τοὺς προέχοντας τῶν κτητόρων, τοῦ νῦν ποτὲ Φραγγίσκου Μαυροκορδάτου, ἔχοντος τὴν κτητορικὴν διοίκησιν τοῦ θείου ναοῦ ἐπ' ὀνόματι τιμωμένου τῆς ἁγίας μεγαλομάρτυρος Κυριακῆς τῆς κατὰ τὴν Ἀπλοταρίαν ὡς κτήτορος, καὶ διοικοῦντος αὐτὴν ὡς χρεών, γράμμα τοῦ καλοῦ Ἰωαννικίου ἐξήνεκται, κἀκεῖνον μὲν ἀποβαλὼν ταύτης ἐν προφάσεσι, τὸν δὲ μισὲρ Νικόλαον, ποτὲ Λαυρεντίου Μαυρογορδάτου, ἐνεδύσατο τὴν κτητορικὴν τῆς αὐτῆς ἐκκλησίας διοίκησιν.

Αὐτοῦ δὲ τοῦ Φραγγίσκου, κατὰ τὸ ἀναγκαῖον τῇ φύσει, τὸν ὅρον τῆς ζωῆς δεξαμένου, τῶν τῇδε μεταστάντος, κάτεισιν ἤδη καθ' ἣν ὡς εἴπομεν παλαιγενῆ συνήθειαν καὶ τρόπον πολιτικὸν ἡ τοιαύτη διοίκησις πρὸς τὸν κὺρ Νικόλαον τοῦ ποτὲ Παντολέοντος Μαυροκορδάτου, ὅστις καὶ κατὰ τὸ παρεκβληθὲν τοῦ πρωτοτύπου ἐν τῷ κώδηκι τῆς μητροπόλεως ἴσον γράμμα, ὡς ἐνεφανίσθη, ὑπέδειξε καὶ γράμμα

συνοδικὸν σὺν τοῖς προκρίτοις καὶ κοινοῖς ἐπιτρόποις ἐν ζῶσιν ἔτι διατελοῦντος τοῦ Φραγγίσκου ἐκείνου, ἐν οἷς ἀπεφήναντο μετὰ τὴν ἀποβίωσιν ἐκείνου παραμεῖναι τοῦτον κτητορικὸν διοικητὴν τοῦ διαληφθέντος ναοῦ κατὰ τὴν κοινὴν ἀπόφασιν · μετὰ τοῦτο καὶ ἕτερον παλαιότερον ἐδείκνυντο τοῦ ποτὲ κὺρ Συμεὼν γράμμα, τὰ αὐτὰ τοῖς αὐτοῖς συνᾷδον καὶ ἐπικυροῦν τὴν ἐντόπιον συνήθειαν.

Τούτων οὕτως ἐχόντων, καὶ παρὰ τῶν ἐγκρίτων τῆς αὐτῆς καλῶς εὐνομουμένης πολιτείας ἰδόντων, καὶ ἐξετασάντων τὴν μεταξὺ τῶν δύο τούτων Νικολάων διαφορὰν, ἐστέρχθη, ἐπεψηφίσθη, συνηνέθη, καὶ ἁπαξαπλῶς ἀπεφάνθη ὥστε τῆς αὐτῆς διοικήσεως, μεταβάσης ἀπὸ τοῦ Φραγγίσκου, ἐπικαθῆσαι καὶ μένειν ἐπάνω τοῦ Νικολάου Μαυροκορδάτου τοῦ ποτὲ Παντολέοντος · τὸν δὲ ἄλλον Νικόλαον ποτὲ Λαυρεντίου Μαυρογορδάτου ἀποβληθῆναι, καὶ μακρὰν ἀποικισθῆναι τῆς αὐτῆς διοικήσεως ὡς ἀνοίκειον, καὶ μηδὲ ἓν ἔχοντα δίκαιον, παρὰ τοῦ καλοῦ τόμου, καὶ τῆς νομικῆς καὶ πολιτικῆς ἀποφάσεως · ἀλλ' οὔτε λόγον τινὰ ὑποθέσεως ἁπτόμενον τῆς αὐτῆς, ὡς ἂν μὴ γένοιτο ἀνατροπῆς πρόσκομμα, καὶ σκανδάλου παραίτιον, λύμη καὶ φθορὰ τῆς εὐλόγου καὶ θεαρέστου συνηθείας · καὶ γὰρ οὐχ ὁ τυχὼν ἔστι κίνδυνος.

Τούτου ἕνεκεν καὶ ἡ μετριότης ἡμῶν, τοὺς οἴακας τῆς ἐκκλησίας ἐπειλημμένη, καὶ τοῦ δικαίου φροντίζουσα, καὶ τοῦ εἰρηνικοῦ, κατὰ τὴν θείαν καὶ πνευματέμφορον χάριν, τὴν ποδηγετοῦσαν ἐπὶ λιμένα θελήματος θεοῦ εὔδιόν τε καὶ γαλήνιον, καὶ πάντων ὡς εἰκὸς ἀντιποιουμένη, τῶν ὅσα ἀρεστὰ καὶ φίλα θεῷ καὶ τῷ ὀρθοδόξῳ πληρώματι πνευματικῶς συμφέρον, γράφει καὶ ἐπὶ παρουσίᾳ τῆς θείας καὶ ἱερᾶς ἀρχιερατικῆς καὶ ἀδελφικῆς ὁμηγύρεώς τε καὶ συνελεύσεως ἀποφαίνεται, καὶ ἐν ἁγίῳ παρακελεύεται Πνεύματι, τὴν πάνδημον αἴτησιν τοῦ κοινοῦ συστήματος, πάντων τῶν χριστιανῶν ἀποδεξαμένη, ὡς εὔλογον καὶ ἐπωφελῆ καὶ θεοφιλῆ, ἵνα τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον, μέχρις οὗ ὁ ἥλιος τὸν ἴδιον περιτρέχει κύκλον, ὁ κατὰ τόπον τόμος, καὶ τὰ συνοδικὰ γράμματα τὰ ἐν τῷ κώδηκι τῆς μητροπόλεως, καὶ ἡ καλὴ αὕτη συνήθεια, καὶ ἡ κοινὴ

ἀπόφασις τῶν νῦν ἢ καὶ κατὰ καιροὺς προκρίτων καὶ ἐπιτρόπων τῆς πολιτείας, καὶ τῶν ἐφεπομένων αὐτοῖς, ἀπὸ μικροῦ ἕως μεγάλου, ἔχωσι τὴν ἰσχὺν, τὸ κῦρος τὸ ἀμετάθετον καὶ ἀπεριπλόνητον, καὶ ὅλως ἀδιάρρηκτον καὶ ἀσάλευτον καὶ ἀπαράγραπτον, περιτρεπομένων τῶν κτητορικῶν διοικήσεων εἰς πάντας τοὺς πρωτεύοντας, τοῦ κτητορικοῦ γένους, καὶ εἴη καὶ διαμένοι ἡ κτητορικὴ διοίκησις τοῦ ῥηθέντος θείου ναοῦ τῆς ἁγίας μεγαλομάρτυρος τοῦ Χριστοῦ Κυριακῆς τοῦ κατὰ τὴν Ἁπλοταρίαν πρὸς αὐτὸν τὸν Νικόλαον τοῦ ποτὲ Παντολέοντος, καὶ ὡς κτήτωρ καὶ ἐπιμελητὴς, καὶ ἐπιστάτης ἔχοι πᾶσαν τὴν φροντίδα καὶ ἐπιμέλειαν, ἑορτῆς, λυχνοκαΐας, σιτηρεσίου, ὡς ἔφορος καθολικὸς, καὶ ὡς εἴπομεν, κτήτωρ γνήσιος, δεσπόζων καὶ νεμόμενος πάντα τὰ κτήματα τοῦ ναοῦ, καὶ πᾶσαν τὴν πρόσοδον αὐτοῦ, συναγηοχῶς ἐν καθαρῷ καταστίχῳ, ὡς τῶν περισσευόντων ἐξ αὐτῶν, κατασκευάζεσθαι ἱερὰ σκεύη, καὶ ἄμφια, καὶ πανοτιοῦν ἀνάστημα καὶ αὔξημα εἰς καλλιέργειαν τῆς ἐκκλησίας καὶ εὐπρέπειαν, εἰς δόξαν θεοῦ καὶ εἰς μνημόσυνον αὐτοῦ τε καὶ τῶν θανόντων Φραγγίσκου καὶ λοιπῶν ἄλλων συγγενῶν τῶν ἀπὸ κτητορικοῦ καταγομένων δικαίου.

Τοῦ δὲ προληφθέντος ἐκείνου πατριαρχικοῦ γράμματος τοῦ Ἰωαννικίου, τοῦ ἐπ' ἀναιρέσει πεμφθέντος, καὶ ἀνατροπῇ τῆς καλῆς ταύτης πολιτείας ἐπὶ σκανδάλῳ καὶ ταράχῳ μεγίστῳ, μένοντος ἀκύρου, ἀνισχύρου, καὶ ἀντ' οὐδενὸς λογιζομένου καὶ φρούδου πάμπαν διαθεμένου καὶ διαλυομένου, ὁ μισὲρ Νικολῆς οὗτος τοῦ ποτὲ ΛΑΥΡΕΝΤΙΟΥ Μαυρογορδάτου ἔχοι μηδεμίαν μετοχὴν ἢ ὅλως οἰκείωσιν, καὶ κτητορικὸν ὄνομα τούτου, ὡς ἀλλότριος καὶ ξένος τῆς αὐτοῦ διοικήσεως, ἀπέχων τοῦ λοιποῦ ἀνακλήτως, καὶ ἀναπολογήτως, καὶ ἀπροφασίστως. Ὅς δ' ἂν φανῇ ἐναντίος καὶ ἀπειθὴς τῇ ἡμετέρᾳ ταύτῃ πατριαρχικῇ καὶ συνοδικῇ προστάξει, καὶ κοινῇ ἀποφάσει τῆς κατὰ τόπον πολιτείας, ἀνατρέψαι πειρώμενος ταῦθ' ἅπαντα, ὡς σκανδαλοποιὸς, ἐπιζήμιος, καὶ ἀντάρτης, καὶ ἀποστάτης τῆς ἐκκλησίας, τῆς πολιτείας, τοῦ νόμου, καὶ πάσης τῆς κοινότητος, τῶν ἱερωμένων καὶ κληρικῶν μένοι ἀργὸς καὶ ἄπρακτος πάσης ἱερο-

πραξίας, καὶ ἐστερημένος τοῦ ὀφφικίου αὐτοῦ, καὶ ὑπεύθυνος ἀφύκτου ἐπιτιμίου, ἀλύτου ἀφορισμοῦ καὶ ὑπὸ καταδίκην παντελοῦς καθαιρέσεως· τῶν δὲ λαϊκῶν, ἄρχων ἢ ἀρχόμενος ἀφωρισμένος εἴη παρὰ Πατρὸς, Υἱοῦ καὶ ἁγίου Πνεύματος τοῦ μόνου θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ μετὰ τὸ θανεῖν ἄλυτος, καὶ ὑπόδικος ταῖς πατριαρχικαῖς ἀραῖς καὶ συνοδικαῖς, καὶ ἔξω τῆς Χριστοῦ ἐκκλησίας καὶ ὁμηγύρεως τῶν πιστῶν, ὡς λειποτάκτης, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα καὶ τῶν σταυρωσάντων τὸν κύριον, καὶ θεοῦ πρόσωπον οὐ μὴ ἴδῃ, στένων καὶ τρέμων ἐπὶ γῆς, ὡς ὁ Κάϊν.

Ὅθεν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν, καὶ ἐπικυρωτικὸν σιγιλλιῶδες γράμμα διὰ μεμβράνης κατησφαλισμένον, καὶ πέμπεται εἰς τὴν κοινὴν, πάνδημον καὶ καλῶς εὐνομουμένην πολιτείαν τῶν εὐσεβῶν τῆς ἐπαρχίας νήσου Χίου, καὶ κατεστρώθη καὶ ἐν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας εἰς ἔνδειξιν μόνιμον καὶ ἀσφάλειαν διηνεκῆ.

ϛχμη', ποσειδεῶνος ἕκτῃ ἱσταμένου τῆς 6' ἐπινεμήσεως.

† Παρθένιος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

ΠΙΝΑΞ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Σελ.

1. Ἡ Ῥωξάνδρα, σύζυγος Ἀλεξάνδρου τοῦ Λεπουσνιάνου, βοεβόδα Μολδοβλαχίας, δίδει χιλιάδας ἄσπρα τριάκοντα πέντε εἰς τὸ ἐν τῷ Ἁγίῳ Ὄρει μοναστήριον τοῦ Καρακάλου (1569)..... 1
2. Καθαίρεσις τοῦ Οὐγκροβλαχίας Λουκᾶ (1615)..... 2
3. Ἐκλογὴ νέου μητροπολίτου Οὐγκροβλαχίας (1616)..... 4
4. Γράμμα σιγιλλιῶδες πατριαρχικὸν περὶ τῆς ἀσυδοσίας τοῦ χωρίου Πογιάνι καὶ τῶν αὐτοῦ κατοίκων (1630)..... 5
5. Γράμμα Βασιλείου, βοεβόδα Μολδοβλαχίας, πρὸς τὸν Ἰωάσαφ, ἀρχιεπίσκοπον Σινᾶ (1645)..... 9
6. Ἐπιστολὴ τοῦ νέου πατριάρχου Παρθενίου πρὸς τὸν Βασίλειον, αὐθέντην Μολδοβλαχίας (1646)..... 13
7. Νεκταρίου Ἱεροσολύμων γράμμα ἀποκαταστατικὸν ἡγουμένου εἰς τὸ μετόχιον Ῥαχοβίτζας ἐν Βλαχίᾳ (1664)..... 15
